χεῖν καὶ τοὺς ἀνοήτους κατορθοῦν, τῶν δὲ λόγων τῶν καλῶς
καὶ τεχνικῶς ἐχόντων οὐ μετὸν τοῖς φαύλοις, ἀλλὰ ψυχῆς εὖ
49 φρονούσης ἔργον ὄντας, καὶ τούς τε σοφοὺς καὶ τοὺς ἀμαθεῖς d
δοκοῦντας εἶναι ταύτῃ πλεῖστον ἀλλήλων διαφέροντας, ἔτι δὲ
τοὺς εὐθὺς ἐξ ἀρχῆς ἐλευθερίως τεθραμμένους ἐκ μὲν ἀνδρείας
καὶ πλούτου καὶ τῶν τοιούτων ἀγαθῶν οὐ γιγνωσκομένους,
ἐκ δὲ τῶν λεγομένων μάλιστα καταφανεῖς γιγνομένους, καὶ
τοῦτο σύμβολον τῆς παιδεύσεως ἡμῶν ἑκάστου πιστότατον
ἀποδεδειγμένον, καὶ τοὺς λόγῳ καλῶς χρωμένους οὐ μόνον ἐν

Aglaoph. p. 205. [cf. Krit. Anh.] — 47, 6. λόγους ἐτίμησεν. S. 15, 295. — ὧν ist Objekt auch zu φθονοῦσιν (die alle sich wünschen und — miſsgönnen). Die nämliche Konstruktion von φθονεῖν auch 18, 51 ἵν' αὐτῷ μὴ τῶν ἀπολωλότων συνήχθεσθε ἀλλὰ τῶν ὑπολοίπων ἐφθονεῖτε.

48, 2. ζῴων cf. Krit. Anh. — διότι wechselt wie hier mit ὅτι auch 20, 7 und Ep. 2, 22 um den Hiatus zu vermeiden, und aus gleichem Grunde ist διότι dem gewöhnlicheren ὅτι auch 5, 1. 6, 16, 24. 14, 23. 15, 133, 263. 16, 43. 18, 1, 31 vorgezogen. Bei den übrigen Rednern ist διότι als Konjunktion des Objektssatzes auch ohne jenen Grund nicht eben selten. Vergl. Schoemann, die Redeteile, p. 182 und Voemel ad Demosth. Contion. p. 746. — τούτῳ πλεονεκτήσ. Zur Sache vergl. 3, 5 seq. (15, 253 seq.). — 48, 4. ταραχώδεις (launenhaft), auch hier von der Prinziplosigkeit und Anomalie; vergl. zu 7, 9. — 48, 6. κατορθοῦν, Erfolge haben; vergl. zu 7, 72. — 48, 7. τεχνικῶς. S. zu 9, 73. — μετόν, von ὁρῶσα abhängig wie οὔσας, ὄντας, διαφέροντας u. s. w.; vergl. 18, 21 ἑώρα μεταμέλον τῇ πόλει τῶν πεπραγμένων. Thuk. 6, 23, 3 εἰδὼς πολλὰ ἡμᾶς δέον εὖ βουλεύσασθαι. Xenoph. Mem. 2, 6, 29 ὁρῶ καὶ σοὶ τούτων δεῆσον, und mit gleichem Wechsel wie hier auch 5, 14 ἑώρων τοὺς ἐνδόξους τῶν ἀνδρῶν ὑπὸ πόλεσι καὶ νόμοις οἰκοῦντας καὶ οὐδὲν ἐξὸν αὐτοῖς ἄλλο πράττειν πλὴν τὸ προσταττόμενον. — 48, 8. ἔργον ὄντας, nämlich τοὺς λόγους.

49, 3. εὐθὺς ἐξ ἀρχῆς, gleich von frühester Jugend an. — ἐλευθερίως τεθραμμένους wie 7, 43. Vergl. Xenoph. Mem. 2, 7, 4 ἐλευθερίως πεπαιδευμένους. Plut. Them. 2, 3 ὑπὸ τῶν ἐν τοῖς ἐλευθερίοις διατριβαῖς πεπαιδεῦσθαι δοκούντων (coll. Romul. 6 ext. Kimon. 13 ext.). Lukian. Anach. 20 ὑπὸ παιδείαις ἐλευθερίοις ἄγειν τε καὶ τρέφειν αὐτούς. [cf. Krit. Anh.]. — Über ἀνδρείας cf. Krit. Anh. — 49, 4. τῶν τοιούτων i. e. ἄλλων τοιούτων. S. zu 7, 48. — 49, 6. τοῦτο i. e. τὰ λεγόμενα. S. zu 1, 38 extr. — 49, 7. ἀποδεδειγμένον, sich erwiesen od. herausgestellt hat, d. h. gilt, ein Perfekt, das wir durch ein Praesens übersetzen, weil wir eher an das Resultat der abgeschlossenen Handlung denken, wie bei μέμνημαι, κέκλημαι u. s. w. Ähnlich das Simplex δέδεικται

ταῖς αὐτῶν δυναμένους ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἐντίμους
50 ὄντας. τοσοῦτον δ' ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τὸ φρο- e
νεῖν καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους, ὥσθ' οἱ ταύτης μα-
θηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασιν, καὶ τὸ τῶν Ἑλλήνων
ὄνομα πεποίηκεν μηκέτι τοῦ γένους ἀλλὰ τῆς διανοίας δοκεῖν
εἶναι, καὶ μᾶλλον Ἕλληνας καλεῖσθαι τοὺς τῆς παιδεύσεως τῆς 51
ἡμετέρας ἢ τοὺς τῆς κοινῆς φύσεως μετέχοντας.
51 (ιδ'.) Ἵνα δὲ μὴ δοκῶ περὶ τὰ μέρη διατρίβειν ὑπὲρ ὅλων

§ **165** und 2, 10, 49. 6, 4 und sonst wie Plat. Phaedo p. 66 D ἀλλὰ τῷ ὄντι ἡμῖν δέδεικται. — 49, 7. λόγῳ, ohne Artikel, weil hier bei λόγος ohne Rücksicht auf den Inhalt nur an die Befähigung zum Reden gedacht wird; vergl. **1, 4.** 3, 6 (15, 254). 6, 96. 8, 39, und so überall λόγον τινὶ διδόναι, λόγον αἰτεῖσθαι, λόγου τυχεῖν, „jemandem das Wort geben," „ums Wort bitten," „das Wort erhalten" (cf. Schoemann ad Plut. Agin p. 161). Auch sonst stehen die Benennungen der geistigen Kräfte und Befähigungen gewöhnlich ohne Artikel.

50, 3. διδάσκαλοι. Dasselbe Lob 15, 295 seq. vergl. Diodor. 13, 27 (αἱ Ἀθῆναι) κοινὸν παιδευτήριον πᾶσιν ἀνθρώποις. Thuk. 2, 41, 1 ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι, und mehr bei Hermann, Privataltert. § 7 n. 12. — τὸ τῶν Ἑλλήνων ὄνομα, der Name Hellenen, sodaſs im Deutschen „Hellenen" auſserhalb der Konstruktion steht, während es im Griechischen konstruiert ist. Ebenso 6, 110 τὸ τῆς Σπάρτης ὄνομα, und regelrecht im Lateinischen (wie Tacit. German. 2, 4 *Germaniae vocabulum recens et nuper additum*), während im Griechischen auch die andere Form eintreten kann, wie bei Plat. de republ. II. p. 369 C ταύτῃ τῇ ξυνοικίᾳ ἐθέμεθα πόλιν ὄνομα. Vergl. Krüger, Synt. § 50, 7 not. 6. — 50, 4. τῆς διανοίας = τοῦ φρονεῖν καὶ λέγειν, wie es vorher hieſs, also etwa: der Anschauungsweise. — 50, 6. φύσεως, s. zu **9, 12.**

§ 51—65. *Gleiche Ehre verdient Athen aber auch wegen seiner Kriege, die es nicht nur für sich, sondern auch für andere unternahm, da es stets bereit war den Bedrängten zu helfen* (51, 52), *obwohl es wegen dieser Politik getadelt zu werden pflegt* (53). *So half es dem Adrastos und besonders den Söhnen des Herakles* (54, 55), *welche, indem sie gerade bei Athen Hülfe suchten, dadurch es aussprachen, daſs Athen damals der mächtigste, an der Spitze von Hellas stehende Staat war* (56, 57). *Und Athen leistete in erfolgreichster Weise die erbetene Hülfe* (58—60), *ohne welche die Nachkommen des Herakles nicht in den Peloponnes hätten einwandern und Sparta gründen können* (61), *welches darum ganz anders gegen uns hätte verfahren müssen, als es gethan* (62), *und Athens ältere Ansprüche auf die Hegemonie anerkennen sollte* (63), *Ansprüche, welche Athen schon wegen seiner in jenen Hülfsgesuchen ausgesprochenen früheren Machtstellung vor den übrigen Staaten von Hellas hat* (64, 65).

51, 1. π. τὰ μέρη διατρίβειν, mit den Einzelheiten mich aufhalten, soweit sie meinem Zwecke günstig sind, und damit die Zeit hinbringen, sodaſs ich nicht dazu kommen kann, von der Gesamtthätigkeit (ὅλα τὰ πράγματα) Athens, wie ich es wollte, zu zeigen, daſs sie für Hellas ersprieſslich war. Fälschlich verstand man τὰ μέρη von Partikular-

τῶν πραγμάτων ὑποθέμενος, μηδ' ἐκ τούτων ἐγκωμιάζειν τὴν πόλιν ἀπορῶν τὰ πρὸς τὸν πόλεμον αὐτὴν ἐπαινεῖν, ταῦτα μὲν b
εἰρήσθω μοι πρὸς τοὺς ἐπὶ τοῖς τοιούτοις φιλοτιμουμένους, ἡγοῦμαι δὲ τοῖς προγόνοις ἡμῶν οὐχ ἧττον ἐκ τῶν κινδύνων
52 *τιμᾶσθαι προσήκειν ἢ τῶν ἄλλων εὐεργεσιῶν. οὐ γὰρ μικροὺς οὐδ' ὀλίγους οὐδ' ἀφανεῖς ἀγῶνας ὑπέμειναν, ἀλλὰ πολλοὺς καὶ δεινοὺς καὶ μεγάλους, τοὺς μὲν ὑπὲρ τῆς αὑτῶν χώρας, τοὺς δ' ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας· ἅπαντα γὰρ τὸν* c
χρόνον διετέλεσαν κοινὴν τὴν πόλιν παρέχοντες καὶ τοῖς ἀδι-
53 *κουμένοις ἀεὶ τῶν Ἑλλήνων ἐπαμύνουσαν. διὸ δὴ καὶ κατηγοροῦσίν τινες ἡμῶν ὡς οὐκ ὀρθῶς βουλευομένων, ὅτι τοὺς ἀσθενεστέρους εἰθίσμεθα θεραπεύειν, ὥσπερ οὐ μετὰ τῶν*

interessen, *τὰ ὅλα* vom Gesamtinteresse der hellenischen Staaten; als ob die Verbreitung des Getreides und andere vorher behandelte *μέρη* nicht das Gesamtinteresse von Hellas berührt hätten! denn die *μέρη* erst mit § **43** beginnen zu lassen, nicht schon mit § **28**, ist doch zu willkürlich. Vergl. überdies **7, 28** *ἀνάγκη γὰρ τοῖς περὶ ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις πεποιημένοις καὶ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις.* — 51, 2. *ὑποθέμενος* ohne verbum dicendi [cf. Krit. Anh.] wie 3, 14. **5, 85.** 10, 29. 12, 112, 119, 266. — *ἐκ τούτων*, wegen der Verdienste, welche ich bisher aufzählte. — 51, 3. *τὰ π. τ. π. αὐτὴν ἐπ.* Der doppelte Accus. bei *ἐπαινεῖν* ist wie bei den übrigen Verbis des Lobens und Tadelns auch sonst häufig, aber nur wenn die Sache durch ein substantiviertes Adjektiv oder Pronomen bezeichnet ist; vgl. Stallbaum ad Plat. Symp. p. 221 C und Lobeck ad Sophocl. Aiac. v. 1107. — 51, 5. Von *ἡγοῦμαι δὲ τ. πρ.* bis § 99 *ἀναγκασθεῖμεν* citiert Isokr. 15, 59. — *κινδύνων* i. e. *πολέμων*. vergl. zu **1, 43.** — 51, 6. *προσήκειν* vergl. zu **5, 127.** — *ἢ τῶν ἄλλων εὐ.* i. e. *ἢ ἐκ τῶν ἀ. εὐ.* vergl. zu **9, 3.**

52, 3. *δεινούς* erklärt sich aus dem korrespondierenden *ἀφανεῖς*. — *τοὺς μέν*, einige zwar auch. Denn auch hier führt der Satz mit *μέν* das Untergeordnete ein (vergl. zu **1, 12**); nur die für die Freiheit anderer unternommenen Kriege können ja als *εὐεργεσίαι* eigentlich hier Erwähnung finden. — 52, 4. *ἅπαντα τ. χ. διετέλεσαν* (immer) — *παρέχ.*, wie § **60. 5, 130. 12,** 183, 220, ist kein Pleonasmus. — 52, 5. *κοινήν*, allen gehörend, ähnlich wie **1, 10** *τοῖς φίλοις κοινός*. — 52, 6. *ἀεί* i. e. *ἑκάστοτε*, in welchem Sinne das Wort einem substantivierten Particip oft nachgestellt erscheint (vergl. Krüger ad Dionys. Historiograph. p. 252 not. 30), aber auch vor dem Artikel auftritt. (cf. Xenoph. Hellen. 2, 1, 4 *ἐρρίπτουν πάντες ὅσοι εἶχον τοὺς καλάμους, ἀεὶ ὁ ἀκούων δεδιὼς μὴ ὀφθείη ἔχων*, und Kühner ad Xenoph. Anab. 4, 1, 7).

53, 1. *κατηγοροῦσιν*. Vergl. Andokid. 3, 28 *δέδοικα μάλιστα, ὦ Ἀθηναῖοι, τὸ εἰθισμένον κακόν, ὅτι τοὺς κρείττους φίλους ἀφιέντες ἀεὶ τοὺς ἥττους αἱρούμεθα*, und andere Stellen bei Sauppe ad Demosth. orat. select. p. 101. — 53, 3. *ὥσπερ* vertritt die Stelle eines *δοκοῦντές μοι νομίζειν*, und daraus ist wohl der Accusativ *τοὺς λόγους ὄντας* zu erklären, der sich in gleicher Weise auch **4, 11. 12, 99.** 16, 23. 19, 30. Ep. 9, 15 findet, während sonst der Genetiv. absolut. neben *ὥσπερ* oder *ὡς* erscheint,

ἐπαινεῖν βουλομένων ἡμᾶς τοὺς λόγους ὄντας τοὺς τοιούτους.
οὐ γὰρ ἀγνοοῦντες, ὅσον διαφέρουσιν αἱ μείζους τῶν συμμα-
χιῶν πρὸς τὴν ἀσφάλειαν, οὕτως ἐβουλευόμεθα περὶ αὐτῶν,
ἀλλὰ πολὺ τῶν ἄλλων ἀκριβέστερον εἰδότες τὰ συμβαίνοντ'
ἐκ τῶν τοιούτων ὅμως ᾑρούμεθα τοῖς ἀσθενεστέροις καὶ παρὰ d
τὸ συμφέρον βοηθεῖν μᾶλλον ἢ τοῖς κρείττοσιν τοῦ λυσιτελοῦν-
τος ἕνεκα συναδικεῖν.

54 (ιε'.) Γνοίη δ' ἄν τις καὶ τὸν τρόπον καὶ τὴν ῥώμην τὴν
τῆς πόλεως ἐκ τῶν ἱκετειῶν, ἃς ἤδη τινὲς ἡμῖν ἐποιήσαντο.
τὰς μὲν οὖν ἢ νεωστὶ γεγενημένας ἢ περὶ μικρῶν ἐλθούσας
παραλείψω· πολὺ δὲ πρὸ τῶν Τρωϊκῶν (ἐκεῖθεν γὰρ δί- e
καιον τὰς πίστεις λαμβάνειν τοὺς ὑπὲρ τῶν πατρίων ἀμφι-
σβητοῦντας) ἦλθον οἵ θ' Ἡρακλέους παῖδες καὶ μικρὸν πρὸ
55 τούτων Ἄδραστος ὁ Ταλαοῦ, βασιλεὺς ὢν Ἄργους, οὗτος μὲν
ἐκ τῆς στρατείας τῆς ἐπὶ Θήβας δεδυστυχηκώς, καὶ τοὺς ὑπὸ 52
τῇ Καδμείᾳ τελευτήσαντας αὐτὸς μὲν οὐ δυνάμενος ἀνελέσθαι,
τὴν δὲ πόλιν ἀξιῶν βοηθεῖν ταῖς κοιναῖς τύχαις καὶ μὴ περιο-

das eine, wie das andere, wenn die Veranlassung zu einer Ansicht anderer nicht als thatsächlich bei ihnen bestehend bezeichnet, sondern bei ihnen nur vorausgesetzt wird. — 53, 3. *μετὰ τῶν* im Sinne derer, wie 12, 240 *λόγους — μηδὲν μᾶλλον μετὰ τῶν ἐπαινούντων ἢ τῶν ψεγόντων ὄντας*. Vergl. zu § 22. — 53, 5. *οὐ γάρ*, sie sind es aber doch, denn . . . .; also *γάρ* wie oft auf einen zu supplierenden Gedanken bezogen. — 53, 7. *ἀκριβ. εἰδότες*, trotzdem wir — wissen, z. B. aus dem peloponnesischen Kriege, dessen entferntere Veranlassung die von Athen den Korkyräern gegen Korinth gewährte Unterstützung war. — 53, 8. *ᾑρούμεθα — μᾶλλον*. S. zu 7, 57.

54, 2. *τῆς πόλεως* ist durch *τήν* grammatisch zwar nur auf *ῥώμην* bezogen, gehört aber auch zu *τὸν τρόπον*. S. zu 9, 51. — *ἃς — ἡμῖν ἐποιήσ.* (Gesuche um Beistand, die — an uns richteten) ist anders konstruiert wie Thuk. 3, 67, 3 *ὑμῶν ἱκετείαν ποιοῦνται*, oder wie Plat. de legg. VII p. 796 C *ἱκετείας ποιουμένους πρὸς θεούς*. Der Grund, weshalb Isokr. *ἡμῖν* statt des regelmäſsigen *ἡμῶν* schrieb [cf. Krit. Anh.], ist wohl der, daſs bei der unmittelbaren Nähe von *τινές* die Rede undeutlich geworden wäre, weil *τινὲς ἡμῶν* hätte verbunden werden können. — 54, 3. *ἐλθούσας*, die an uns gelangten, wie *ἀγγελία*, *βάξις ἔρχεται* und ähnliches oft gesagt wird. — 54, 4. *παραλείψω*. Eine gleiche praeteritio 5, 22. 8, 81. 12, 192. Vergl. Gebauer de praeterit. form. apud Orat. Attic. Lips. 1874, p. 37.

55, 2. *ἐκ τῆς στρατείας*, welchen er zu dem Zweck unternahm seinen Schwiegersohn Polyneikes nach Theben und auf den Thron zurückzuführen; s. Apollod. 3, 6 folg. Die Worte gehören gleichmäſsig zu *ἦλθον* wie zu *δεδυστυχηκώς*, unmittelbar nach d. F., in dem er eben eine Niederlage erlitten. — *ὑπὸ τ. Κ.*, am Fuſs der *ἀκρόπολις* von Theben, wie 10, 31. 14, 53 und sonst oft. — 55, 4. *ταῖς κοιναῖς τύχαις* dies Unglück, das alle treffen

ρᾶν τοὺς ἐν τοῖς πολέμοις ἀποθνήσκοντας ἀτάφους γιγνομένους μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον καταλυόμενον,
56 οἱ δ' Ἡρακλέους παῖδες φεύγοντες τὴν Εὐρυσθέως ἔχθραν, καὶ τὰς μὲν ἄλλας πόλεις ὑπερορῶντες ὡς οὐκ ἂν δυναμένας βοηθῆσαι ταῖς αὐτῶν συμφοραῖς, τὴν δ' ἡμετέραν ἱκανὴν b νομίζοντες εἶναι μόνην ἀποδοῦναι χάριν ὑπὲρ ὧν ὁ πατὴρ
57 αὐτῶν ἅπαντας ἀνθρώπους εὐεργέτησεν. ἐκ δὴ τούτων ῥᾴδιον κατιδεῖν, ὅτι καὶ κατ' ἐκεῖνον τὸν χρόνον ἡ πόλις ἡμῶν ἡγεμονικῶς εἶχεν· τίς γὰρ ἂν ἱκετεύειν τολμήσειεν ἢ τοὺς ἥττους [ἄλλων] ἢ τοὺς ὑφ' ἑτέροις ὄντας, παραλιπὼν τοὺς μείζω δύναμιν ἔχοντας, ἄλλως τε καὶ περὶ πραγμάτων οὐκ ἰδίων c ἀλλὰ κοινῶν καὶ περὶ ὧν οὐδένας ἄλλους εἰκὸς ἦν ἐπιμεληθῆναι πλὴν τοὺς προεστάναι τῶν Ἑλλήνων ἀξιοῦντας;
58 ἔπειτ' οὐδὲ ψευσθέντες φαίνονται τῶν ἐλπίδων, δι' ἃς κατέ-

könne. Über *κοινὴ τύχη* s. zu **1, 29** und Krüger zu Thuk. 5, 102. — 55, 6. *πάτριον νόμον*, daſs eben die im Kampfe Gefallenen nicht unbestattet liegen bleiben dürften, sondern vom Feinde auszuliefern seien, eine Sitte, die 12, 169 *οὐχ ὑπ' ἀνθρωπίνης κείμενον φύσεως, ἀλλ' ὑπὸ δαιμονίας προστεταγμένον δυνάμεως* (vom Herakles; s. Plut. Thes. 29 extr. und Aelian. Var. histor. 12, 27) genannt wird.

56, 1. *Εὐρυσθέως*, der ihre Auslieferung von Keyx, König von Trachis, unter Androhung eines Krieges verlangte und sie so zwang in Hellas umher zu irren (Isokr. 6, 17), bis sie in Athen Schutz und Hülfe fanden, — ein von den Panegyrikern Athens gern behandelter Gegenstand; vgl. (Lys.) 2, 11 seqq., Aristeid. Panathen. p. 175 Dind., und Isokr. **5, 34. 10, 31. 12, 194.** — 56, 5. *εὐεργέτησεν.* Vergl. **5, 76** (*Ἡρακλῆς*) *ἁπάσης κατέστη τῆς Ἑλλάδος εὐεργέτης*, da seine Arbeiten und Kämpfe die Menschen von allerlei Not und Übel befreiten, weshalb er als *Σωτήρ* und *Ἀλεξίκακος* verehrt wurde; vergl. Preller, Gr. Mythol. II. p. 184 ff.

57, 3. *ἡγεμονικῶς εἶχεν*, wie ein Vorstand (von Hellas) war, d. h. die Eigenschaften und die Geltung eines *ἡγεμών* hatte, ohne es in der That zu sein, wie denn die Adjektiva auf *-κός* sehr gewöhnlich den bezeichnen, welcher im Besitz der Eigenschaften dessen ist, der durch das Grundwort bezeichnet wird, ohne dessen Namen zu führen; vergl. *βασιλεύς* und *ἀνὴρ βασιλικός* Xenoph. Anab. **1, 9, 1,** *ἀρχικὸν γένος* Isokr. **4, 67** und Thuk. 2, 80, 5 u. s. w. — *τολμήσειεν*, wer würde (in ihrer Lage) es über sich gewonnen haben, d. h. Trotz bietend nicht einer äuſseren Gefahr (in welchem Sinne das Wort gewöhnlich steht), sondern den eigenen widerstrebenden Neigungen und Empfindungen und der richtigeren Einsicht, wie *τολμᾶν* auch sonst oft vorkommt; s. § **88, 96. 7, 83** und Stallbaum ad Plat. Phileb. p. 13 D und ad Plat. de republ. II p. 360 B. Jacobs addidam. in Athenae. p. 309. — *τοὺς ἥττους* [*ἄλλων*]. cf. Krit. Anh. — 57, 5. *ἄλλως τε καί.* S. zu § **66.** — 57, 6. *κοινῶν*, insofern es sich in dem Falle des Adrastos um ein für alle Hellenen gleich wichtiges *ἔθος*, in dem Falle der Herakliden um Dankbarkeit für die allen Hellenen zu gute gekommenen Wohlthaten des Herakles handelte. — *περὶ ὧν* = *περὶ τούτων, ὧν.*

φυγον ἐπὶ τοὺς προγόνους ἡμῶν. ἀνελόμενοι γὰρ πόλεμον
ὑπὲρ μὲν τῶν τελευτησάντων πρὸς Θηβαίους, ὑπὲρ δὲ τῶν
παίδων τῶν Ἡρακλέους πρὸς τὴν Εὐρυσθέως δύναμιν, τοὺς d
μὲν ἐπιστρατεύσαντες ἠνάγκασαν ἀποδοῦναι θάψαι τοὺς
νεκροὺς τοῖς προσήκουσιν, Πελοποννησίων δὲ τοὺς μετ' Εὐρυ-
σθέως εἰς τὴν χώραν ἡμῶν εἰσβαλόντας ἐπεξελθόντες ἐνί-
59 *κησαν μαχόμενοι κἀκεῖνον τῆς ὕβρεως ἔπαυσαν. θαυμαζό-*
μενοι δὲ καὶ διὰ τὰς ἄλλας πράξεις ἐκ τούτων τῶν ἔργων ἔτι
μᾶλλον εὐδοκίμησαν. οὐ γὰρ παρὰ μικρὸν ἐποίησαν, ἀλλὰ
τοσοῦτον τὰς τύχας ἑκατέρων μετήλλαξαν, ὥσθ' ὁ μὲν ἱκε- e
τεύειν ἡμᾶς ἀξιώσας βίᾳ τῶν ἐχθρῶν ἅπανθ' ὅσων ἐδεήθη
διαπραξάμενος ἀπῆλθεν, Εὐρυσθεὺς δὲ βιάσεσθαι προσδο-
κήσας αὐτὸς αἰχμάλωτος γενόμενος ἱκέτης ἠναγκάσθη κατα-
60 *στῆναι, καὶ τῷ μὲν ὑπερενεγκόντι τὴν ἀνθρωπίνην φύσιν,*

58, 5. *ἐπιστρατεύσαντες.* Nach 12, 170 gewann Theseus die Thebaner vielmehr durch Unterhandlung zur Herausgabe der Gefallenen, eine Differenz, die auch sonst in diesem Punkte sich zeigt (cf. Preller, Gr. Mythol. II p. 254 not.) und ausdrücklich von Isokr. 12, 172 anerkannt wird. Die Erwähnung des Krieges lag hier ganz im Interesse des Redners. — 58, 7. *ἐνίκησαν μαχόμενοι* bildet einen Begriff; vergl. 5, 90. 6, 53. 7, 75. 8, 43, ebenso bei anderen, s. Baiter-Sauppe ad Lycurg. p. 117 und Stallbaum ad Plat. de legg. I. p. 638 D.

59, 3. *οὐ γὰρ παρὰ μικρὸν ἐποίησαν κ. τ. λ.* Denn nicht unbedeutend gestalteten sie — um, sondern in dem Grade thaten sie es u. s. w. *παρά* hier im Sinne der *Gleichstellung* und *Ähnlichkeit*, wie 5, 79 in der Wendung *παρὰ μικρὸν ἡγεῖσθαί τι* (ähnlich dem stärkeren *παρ' οὐδὲν ποιεῖσθαι, τίθεσθαι, ἡγεῖσθαί τι.* cf. Blomfield ad Aeschyl. Agam. v. 221), aber auch sonst: Plut. Kleom. 27, 4 *τὸ παρὰ μικρόν* (Kleinigkeit), Diogen. Laert. 2, 32 *τὸ εὖ ἄρχεσθαι μικρὸν μὲν μὴ εἶναι, παρὰ μικρὸν δὲ* (cf. Wyttenbach ad Plut. Moral. p. 607) und besonders Aristeid. Panath. p. 284 Dind. *οὐ παρὰ μικρὸν ἐνίκησαν οὐδ' ὡς φοβῆσαι μόνον Λακεδαιμονίους, ἀλλ' ἐκβαλόντες — ἀνήγαγον εἰς τὴν ἐξ ἀρχῆς τάξιν τὴν πόλιν.* Anders Isokr. 8, 95 (*τὴν πολιτείαν*) *σαλεῦσαι καὶ λυθῆναι παρὰ μικρὸν* (beinahe) *ἐποίησεν*, und in der Wendung *παρὰ μικρὸν ἦλθον ἀποθανεῖν* (s. zu 7, 6), wo *παρά* den *Differenzpunkt* bezeichnet („so dafs wenig fehlt"). *ποιεῖν* vertritt wie oft ein Verbum von speciellem Begriff, hier jedoch so, dafs dieses nicht wie gewöhnlich vorher genannt war, sondern erst nachher genannt wird, wie 1, 31 *ὅπερ πάσχουσιν οἱ πολλοί, ποιοῦντες μέν, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες.* — 59, 5. *βίᾳ τῶν ἐχθρῶν*, den Feinden zum Trotz, wie 10, 31 *βίᾳ Θηβαίων*, und 10, 32 *βίᾳ τῶν πολιτῶν*. Vergl. Blomfield ad Aeschyl. Sept. v. 608 und Krüger ad Xenoph. Anab. 7, 8, 17. — 59, 7. *αἰχμάλωτος — ἱκέτης.* Ebenso erzählt Isokr. 12, 194; nach anderen fiel Eurysth. in der Schlacht; cf. Heyne Observat. ad Apollod. p. 202 seq.

60, 1. *τὴν — φύσιν. ὑπερφέρειν*, im Sinne des dem Isokr. geläufigeren *ὑπερβάλλειν* (S. zu 9, 6) und mit dem Akkus. (statt Genet.) des Übertroffenen konstruiert, steht nur hier bei ihm und vorzugsweise

ὃς ἐκ Διὸς μὲν γεγονώς, ἔτι δὲ θνητὸς ὢν θεοῦ ῥώμην ἔσχεν, τούτῳ μὲν ἐπιτάττων καὶ λυμαινόμενος ἅπαντα τὸν χρόνον διετέλεσεν, ἐπειδὴ δ' εἰς ἡμᾶς ἐξήμαρτεν, εἰς τοσαύτην κατέ- 53
στη μεταβολήν, ὥστ' ἐπὶ τοῖς παισὶ τοῖς ἐκείνου γενόμενος ἐπονειδίστως τὸν βίον ἐτελεύτησεν.

61 (ιϛ'.) Πολλῶν δ' ὑπαρχουσῶν ἡμῖν εὐεργεσιῶν εἰς τὴν πόλιν τὴν Λακεδαιμονίων, περὶ ταύτης μόνης μοι συμβέβηκεν εἰπεῖν· ἀφορμὴν γὰρ λαβόντες τὴν δι' ἡμῶν αὐτοῖς γενομένην σωτηρίαν οἱ πρόγονοι μὲν τῶν νῦν ἐν Λακεδαίμονι βασιλευόντων, ἔκγονοι δ' Ἡρακλέους, κατῆλθον μὲν εἰς Πελοπόννησον, κατέσχον δ' Ἄργος καὶ Λακεδαίμονα καὶ Μεσσήνην, οἰκισταὶ b
δὲ Σπάρτης ἐγένοντο, καὶ τῶν παρόντων ἀγαθῶν αὐτοῖς
62 ἁπάντων ἀρχηγοὶ κατέστησαν. ὧν ἐχρῆν ἐκείνους μεμνημένους μηδέποτ' εἰς τὴν χώραν ταύτην εἰσβαλεῖν, ἐξ ἧς ὁρμη-

nur bei Späteren, wie Plut. Moral. p. 360 E (δαίμονας) λέγουσι πολλῇ τῇ δυνάμει τὴν φύσιν ὑπερφέροντας ἡμῶν. — 60, 2. θεοῦ ῥώμην ἔσχεν vergl. Eurip. Orest. 1169 Ἀγαμέμνονος παῖς — οὐ τύραννος, ἀλλ' ὅμως | ῥώμην θεοῦ τιν' ἔσχεν. — 60, 3. τούτῳ μέν nimmt τῷ μὲν ὑπερενεγκόντι wieder auf. Vergl. zu 1, 45, und über das repetierte μέν zu § 1. — 60, 5. ἐπὶ τοῖς παισί. S. zu § 16. — 60, 6. ἐπονειδίστως — ἐτελ., denn Alkmene, die Mutter des Herakles, stach ihm die Augen aus; Apollod. 2, 8, 4.

61, 1. πολλῶν, indem sie ihnen z. B. im zweiten messenischen Kriege den Tyrtaios, im dritten den Kimon zur Unterstützung sendeten. — εἰς τ. π. cf. Krit. Anh. — 61, 2. συμβέβηκεν, es hat sich (in dieser Rede) so gefügt, wie 12, 199 οὐ μὴν συμβαίνει μοι ταὐτὸν ποιεῖν ἐκείνοις, und Ep. 3, 2 νῦν δὲ συμβέβηκε μηκέτι δεῖν πείθειν. — 61, 3. ἀφορμὴν — λαβ., nachdem sie mit dieser Rettung die Möglichkeit dazu gewonnen, indem ohne die Hülfe der Athener die Söhne des Herakles dem Eurystheus erlegen wären. Vergl. 5, 34. Von äuſserer Veranlassung steht ἀφορμὴν λαμβάνειν 9, 28. 19, 6. Ep. 9, 2. — 61, 5. ἔκγονοι δέ, *und* Nachkommen. S. zu 9, 14. — 61, 6. κατέσχον, nahmen *mit* ein, denn nicht die πρόγονοι der späteren spartanischen Könige allein thaten das, sondern alle damaligen ἔκγονοι des Herakles. So wird aber oft einem Subjekte eine Handlung beigelegt, die es nicht ausschlieſslich und allein, sondern im Vereine mit anderen, wenn auch gewöhnlich unter ihnen in hervorragender Weise, ausführte (d. h. es steht das Simplex statt des Kompositum mit σύν). Ähnlich schon Homer Od. 1, 2 von Odysseus: Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν, und Il. 18, 327 von Patroklos: Ἴλιον ἐκπέρσαντα. Plut. Agis 6, 4 ἡ ἀναπείσασα τὸν Ἀγησίλαον αἰτία τῶν πραττομένων μετασχεῖν ὀφλημάτων πλῆθος ἦν, ὧν ἤλπιζεν ἀπαλλαγήσεσθαι μεταβάλλων τὴν πολιτείαν, was eigentlich συμμεταβάλλων heiſsen müſste. — 61, 7. αὐτοῖς [cf. Krit. Anh.] gehört zu παρόντων, nicht zu κατέστησαν wie die Stellung zwischen ἀγαθῶν und ἁπάντων lehrt. Vergl. über das Hyperbaton zu 1, 29.

62, 2. εἰσβαλεῖν, wie es wiederholt im peloponnesischen Kriege geschah. Der Inf. Aorist. neben καθιστάναι, διδόναι, ἀξιοῦν hat hier so wenig etwas Befremdliches wie 3, 17 αἱ μοναρχίαι πρὸς τὸ

θέντες τοσαύτην εὐδαιμονίαν κατεκτήσαντο, μηδ᾽ εἰς κινδύνους
καθιστάναι τὴν πόλιν τὴν ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους
προκινδυνεύσασαν, μηδὲ τοῖς μὲν ἀπ᾽ ἐκείνου γεγονόσιν διδό- c
ναι τὴν βασιλείαν, τὴν δὲ τῷ γένει τῆς σωτηρίας αἰτίαν οὖσαν
63 *δουλεύειν αὐτοῖς ἀξιοῦν. εἰ δὲ δεῖ τὰς χάριτας καὶ τὰς*
ἐπιεικείας ἀνελόντας ἐπὶ τὴν ὑπόθεσιν πάλιν ἐπανελθεῖν καὶ
τὸν ἀκριβέστατον τῶν λόγων εἰπεῖν, οὐ δή που πάτριόν ἐστιν
ἡγεῖσθαι τοὺς ἐπήλυδας τῶν αὐτοχθόνων, οὐδὲ τοὺς εὖ παθόν-
τας τῶν εὖ ποιησάντων, οὐδὲ τοὺς ἱκέτας γενομένους τῶν ὑποδεξα- d
64 *μένων.* (ιζ.) *Ἔτι δὲ συντομώτερον ἔχω δηλῶσαι περὶ αὐτῶν.*
τῶν μὲν γὰρ Ἑλληνίδων πόλεων χωρὶς τῆς ἡμετέρας Ἄργος
καὶ Θῆβαι καὶ Λακεδαίμων καὶ τότ᾽ ἦσαν μέγισται καὶ νῦν
ἔτι διατελοῦσιν. φαίνονται δ᾽ ἡμῶν οἱ πρόγονοι τοσοῦτον
ἁπάντων διενεγκόντες, ὥσθ᾽ ὑπὲρ μὲν Ἀργείων δυστυχησάντων

βουλεύεσθαι καὶ πρᾶξαί τι τῶν δεόντων διαφέρουσιν und sonst; der Inf. Aorist. bezeichnet die Handlung als dauerlos, der Inf. Praes. nach ihrem Verlauf und ihrer Dauer. — 62, 5. *ἀπ᾽ ἐκείνου γεγονόσιν*, dem Prokles und Eurysthenes, Söhnen des Aristodemos, der im vierten Grade ein Nachkomme des Herakles war (Herod. 6, 52, 1); daher *ἀπ᾽ ἐκείνου*, nicht *ἐξ ἐκείνου*, was die unmittelbare Abstammung von Herakles bezeichnen würde; vergl. 12, 81 *τοὺς μὲν ἀπὸ θεῶν, τοὺς δ᾽ ἐξ αὐτῶν τῶν θεῶν γεγονότας*. 11, 35 *τὸν ἐκ Ποσειδῶνος μὲν γεγονότα, πρὸς δὲ μητρὸς ἀπὸ Διὸς ὄντα*. Doch wird dieser Unterschied nicht überall beobachtet, denn neben *τοῖς ἐκ τῶν θεῶν γεγονόσιν ἡμιθέοις* 4, 84 heiſst es 9, 13 *τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι*, und neben *τῶν ἐξ αὐτοῦ γεγονότων* 9, 72 sagt Isokr. 9, 76 gleichfalls von den Kindern des Euagoras *καὶ σοὶ καὶ τοῖς σοῖς παισὶ καὶ τοῖς ἄλλοις ἀπ᾽ Εὐαγόρου γεγονόσι*, und von Euagoras heiſst es 9, 81 *γεγονὼς ἐκ Διός*. Vergl. auch unten § 71 und 5, 76, 77. — 62, 7. *δουλεύειν*, nach der Eroberung Athens durch Lysander zu Ende des peloponnesischen Krieges.

63, 2. *ἀνελόντας*, *omittentes* (abgesehen von . . .). [cf. Krit Anh.]. — *τὴν ὑπόθεσιν*, auf die Hauptsache, nämlich den Beweis, daſs Athen wegen seiner Machtstellung Ansprüche auf die Hegemonie habe. Wenn nachher dennoch von Wohlthätern und Empfängern von Wohlthaten die Rede ist, so will Isokr. dabei nur an die darin sich aussprechende Macht des einen und Hülflosigkeit des andern gedacht wissen. — Über das pleonastische *πάλιν ἐπανελθεῖν* s. zu 9, 56 und Rehdantz Demosth. Index[2] p. 179. — 63, 3. *τὸν ἀκριβ.*, den Grund, der sich streng an die Sache selbst hält und Nebenrücksichten, wie Dankbarkeit und Billigkeit, ganz bei Seite läſst.

64, 4. *διατελοῦσιν*, nämlich: *μέγισται οὖσαι*, [cf. Krit. Anh.] wie 2, 4 *ἀνουθέτητοι διατελοῦσιν*, Isae. 8, 44 *ἀναμφισβήτητοι διετελέσαμεν*, Xenoph. Hellen. 2, 3, 25 *οἱ βέλτιστοι ἀεὶ ἂν πιστοὶ διατελοῖεν* und sonst; vergl. Lobeck ad Phryn. p. 277. — 64, 5. *ὥσθ᾽ ὑπὲρ κ. τ. λ.* *ὥστε* darf mit *ἐπιτάττοντες, κρατήσαντες, διασώσαντες* nicht so verbunden werden, daſs es wie *οἷον, οἷα, ἅτε* einen in der Natur der Sache liegenden Grund bezeichnet, wo dann *ὥστε — δυνηθείη* § 65 den Nachsatz zu *τοσοῦ-*

65 Θηβαίοις, ὅτε μέγιστον ἐφρόνησαν, ἐπιτάττοντες, ὑπὲρ δὲ τῶν
παίδων τῶν Ἡρακλέους Ἀργείους καὶ τοὺς ἄλλους Πελοποννη- e
σίους μάχῃ κρατήσαντες, ἐκ δὲ τῶν πρὸς Εὐρυσθέα κινδύνων
τοὺς οἰκιστὰς καὶ τοὺς ἡγεμόνας τοὺς Λακεδαιμονίων διασώ-
σαντες· ὥστε περὶ μὲν τῆς ἐν τοῖς Ἕλλησι δυναστείας οὐκ οἶδ'
ὅπως ἄν τις σαφέστερον ἐπιδεῖξαι δυνηθείη.

66 (ιη'.) Δοκεῖ δέ μοι καὶ περὶ τῶν πρὸς τοὺς βαρβάρους 54
τῇ πόλει πεπραγμένων προσήκειν εἰπεῖν, ἄλλως τ' ἐπειδὴ

τὸν διενεγκόντες bilden würde; denn dieser Gebrauch des ὥστε ist unattisch (S. Krüger zu Herodot. 1, 8, 1) und die dafür von Lobeck ad Phryn. p. 427 beigebrachten Stellen sind jetzt berichtigt. Vielmehr ist ὥστε hier Folgerungspartikel, welche das Particip statt des Verb. finit. (ἐπέταττον u. s. w.) infolge einer Attraktion neben sich hat, weil auch im Hauptsatze das Particip steht, ein Gebrauch, den zuerst Baiter zu d. St. bemerkte und Klotz, Quaest. critic. I, p. 1 seq. mit Beispielen belegte wie Demosth. 10, 40 οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις ὁρῶ τὸν ἐν ἡλικίᾳ πρὸς τοὺς πρεσβυτέρους οὕτω διακείμενον — ὥστε — οὐ φάσκοντα ποιήσειν οὐδὲν οὐδ' αὐτόν. Vergl. auch Voemel ad Demosth. Contion. p. 376 und Madvig Synt. § 166 A. [cf. Krit. Anh.].

65, 3. πρὸς Εὐρυσθέα, gegenüber dem E., wie Lykurg. Leokrat. 130 ὁ παρὰ τῶν πολιτῶν φόβος ἰσχυρὸς ὢν ἀναγκάσει τοὺς πρὸς τοὺς πολεμίους κινδύνους ὑπομένειν. Lys. 14, 15 τὸν πρὸς τοὺς πολεμίους κίνδυνον. coll. (Lys.) 2, 25. Vergl. zu § 26. [cf. Krit. Anh.] — 65, 4. οἰκιστάς hat mit dem folgenden τοὺς ἡγεμόνας das Λακεδαιμονίων gemeinschaftlich, denn nicht bloſs οἰκιστὴς πόλεως, sondern auch οἰκιστὴς ἔθνους wurde gesagt; vergl. Thuk. 1, 25, 2 τὸν οἰκιστὴν ἀποδεικνύντες σφῶν ἐκ Κορίνθου ὄντα, und unten § 70. — 65, 5. ὥστε, *ergo*, parataktisch wie oft z. B. § 160; ebenso ὡς u. ἐπεί (S. zu 7, 54). — περὶ τῆς — δυναστ., über das Machtverhältnis unter d. H., welche Staaten geringere, welcher die gröſste Macht besessen habe. ἐπιδεικνύναι περί τινος (einen Nachweis geben über etwas) auch bei Plat. Ion. p. 542 A περὶ Ὁμήρου ὑποσχόμενος ἐπιδείξειν ἐξαπατᾷς με. Vgl. Isae. 6, 65. Demosth. 43, 18 und denselben 27, 12 τοῦθ' ὑμῖν ἐπιδείξω, μετὰ δὲ ταῦτα καὶ περὶ τῶν ἄλλων. Vergl. zu 9, 12.

§ 66—74. *Athens Machtstellung zeigt sich aber auch in den Kriegen mit den Barbaren, die bei ihren Absichten auf Hellas vorzugsweise Athen ins Auge faſsten* (66, 67); *so die Thraker, ebenso die Skythen und Amazonen* (68, 70). *Und wie in diesen Kämpfen, so zeichneten sich die Athener auch in den Perserkriegen aus* (71, 72), *was um so rühmlicher für sie ist, weil sie an den Lakedaimoniern würdige Nebenbuhler ihres Ruhmes fanden. Über diese Kriege ist hier ausführlicher zu reden* (73), *so schwierig es bei der vielfachen Behandlung derselben auch ist, etwas Neues darüber zu sagen* (74).

66, 2. ἄλλως τ' ἐπειδὴ καί ist in etwas anderem Sinne gesagt als 2, 51 ἄλλως τ' ἐπειδὴ περὶ τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν, dagegen in ähnlichem, wie Thuk. 2, 3 ἄλλως τε καὶ ἐπειδὴ ἐς οὐδένα οὐδὲν ἐνεωτέριζον. Nämlich bei ἄλλως τε καί (wie bei ἄλλοι τε καί) wird durch die Andeutung, daſs es noch etwas anderes gebe, was man aber neben dem wirklich Genannten anzuführen verschmäht, dies letztere als etwas besonders Wichtiges hervor-

καὶ τὸν λόγον κατεστησάμην περὶ τῆς ἡγεμονίας τῆς ἐπ' ἐκείνους. ἅπαντας μὲν οὖν ἐξαριθμῶν τοὺς κινδύνους λίαν ἂν μακρολογοίην· ἐπὶ δὲ τῶν μεγίστων τὸν αὐτὸν τρόπον ὅνπερ
67 ὀλίγῳ πρότερον πειράσομαι καὶ περὶ τούτων διελθεῖν. Ἔστι γὰρ ἀρχικώτατα μὲν τῶν γενῶν καὶ μεγίστας δυναστείας b
ἔχοντα Σκύθαι καὶ Θρᾷκες καὶ Πέρσαι, τυγχάνουσι δ' οὗτοι μὲν ἅπαντες ἡμῖν ἐπιβουλεύσαντες, ἡ δὲ πόλις πρὸς ἅπαντας τούτους διακινδυνεύσασα. καίτοι τί λοιπὸν ἔσται τοῖς ἀντιλέγουσιν, ἢν ἐπιδειχθῶσι τῶν μὲν Ἑλλήνων οἱ μὴ δυνάμενοι τυγχάνειν τῶν δικαίων ἡμᾶς ἱκετεύειν ἀξιοῦντες, τῶν δὲ βαρ-

gehoben (= *sowohl sonst als besonders*, daher zu übersetzen: vor anderm, vorzüglich, besonders), wie in ἄλλως τε καὶ νῦν 15, 74 u. 81; ἄλλως τε καὶ περὶ 4, 57; ferner wo darauf ein konstruiertes oder ein absolutes Particip folgt wie 3, 35. 4. 106. 8, 69. 14, 52. 15, 86, 312. 18, 47; 5, 45. 6, 3, 37. 7, 8, 73. 12, 37. 17, 36, 52, oder ein hypothetischer Satz wie 5, 11, 56. 12, 23. Ep. 2, 1). Dagegen fügt ἄλλως τε (eigentlich *praetereaque*) zu einem vorher schon Genannten oder, weil selbstverständlich, zu Ergänzenden etwas anderes noch hinzu, ohne ihm an und für sich eine vorzügliche Wichtigkeit beizulegen (daher ἄλλως τ' ἐπειδή = auch weil, ἄ. τ' ἤν = auch wenn, ἄ. θ' ὅταν = auch wann). Es können jedoch die noch hinzugefügten anderen Gründe, Bedingungen, Umstände wirklich etwas besonders Wichtiges sein und diese Wichtigkeit kann durch ein dem kausalen, hypothetischen, temporalen Satze selbst beigegebenes steigerndes καί bezeichnet werden, wie in ἄλλως τ' ἐπειδὴ καί hier und 9, 7, in ἄλλως τ' ἢν καὶ τύχῃ τις 15, 104 (ἄλλως τε εἰ καί Lukian. Nigrin. 6. cf. Stallbaum ad Plat. Phaedo. p. 87 D), in ἄλλως θ' ὅταν καί 5, 79, in welchem Falle wir im Deutschen die Bezeichnung der Wichtigkeit des zu Nennenden auf ἄλλως τε übertragen und dies wie ἄλλως τε καί übersetzen können. In diesem Sinne hat Schäfer Apparat. ad Demosth. V p. 56 (dem Schoemann ad Isae. 3, 69 zu folgen scheint) Recht, wenn er sagt, ἄλλως τ' εἰ καί sei Umstellung für ἄλλως τε καὶ εἰ. — 66, 3. τὸν λόγον κατεστησάμην (*orationem institui*) [cf. Krit. Anh.] vergl. 7, 77. Plat. Hipp. mai. p. 304 A. Aristeid. Panath. p. 154 Dind. — 66, 5. ἐπὶ δὲ τῶν μ., auf Grund der w.; vergl. zu 1, 50. Daran schliefst sich περὶ τούτων (über diesen Punkt) διελθεῖν ähnlich wie bei Plato de republ. V p. 475 A εἰ βούλει ἐπ' ἐμοῦ λέγειν περὶ τῶν ἐρωτικῶν. Das τὸν αὐτὸν τρόπον geht auf die streng logische Schlufsfolge, wie sie § 64 seq. gemacht wurde und § 67 wirklich wieder gemacht wird. [cf. Krit. Anh.]

67, 2. ἀρχικώτατα, am meisten zur Weltherrschaft befähigt. S. zu § 57. — 67, 3. τυγχάνουσι (es trifft sich), nicht ἔτυχον, denn Isokr. will hier nicht erzählen, sondern ein für alle Zeiten gültiges Urteil aufstellen. Vergl. § 103 ἄριστα τυγχάνουσι πράξαντες. In οὗτοι μὲν ἅπαντες liegt der Nachdruck offenbar auf οὗτοι, weshalb es voran steht; umgekehrt ist es bei dem folgenden ἅπαντας τούτους. In gleicher Weise wird bald ταῦτα πάντα, bald πάντα ταῦτα gesagt. Vergl. Weber ad Demosth. Aristocrat. p. 181 und die Stellen des Isokr. bei Strange in Jahns Jahrb. Suppl. IV. (1836) p. 347.

βάρων οἳ βουλόμενοι καταδουλώσασθαι τοὺς Ἕλληνας ἐφ' ἡμᾶς πρώτους ἰόντες; c

68 (ιθ'.) *Ἐπιφανέστατος μὲν οὖν τῶν πολέμων ὁ Περσικὸς γέγονεν, οὐ μὴν ἐλάττω τεκμήρια τὰ παλαιὰ τῶν ἔργων ἐστὶν τοῖς περὶ τῶν πατρίων ἀμφισβητοῦσιν. ἔτι γὰρ ταπεινῆς οὔσης τῆς Ἑλλάδος ἦλθον εἰς τὴν χώραν ἡμῶν Θρᾷκες μὲν μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος, Σκύθαι δὲ μετ' Ἀμαζόνων τῶν Ἄρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον, ἀλλὰ καθ' ὃν ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον μισοῦντες μὲν ἅπαν τὸ τῶν Ἑλλήνων γένος, ἰδίᾳ δὲ πρὸς ἡμᾶς ἐγκλήματα ποιη-* d
σάμενοι, νομίζοντες ἐκ τούτου τοῦ τρόπου ʻπρὸς μίαν μὲν
69 *πόλιν κινδυνεύσειν, ἁπασῶν δ' ἅμα κρατήσειν. οὐ μὴν κατώρθωσαν, ἀλλὰ πρὸς μόνους τοὺς προγόνους τοὺς ἡμετέρους*

68, 3. *περὶ τῶν πατρίων*, für die angestammten Rechte, d. h. für die Hegemonie, woran sie alte Ansprüche zu haben vermeinen. Der Ausdruck besagt also mehr als *περὶ ἡγεμονίας ἀμφισβ.* § 25, 71, 166 (coll. 20 und 57) oder *περὶ τῶν πρωτείων ἀμφ.*, (cf. Krit. Anh.]. Der Ausdruck wie § 54 (vergl. § 63) und hier wie dort absichtlich von Isokr. gewählt, weil nach § 18 die Lakedaimonier wirklich behaupteten, *ὡς ἔστιν αὐτοῖς ἡγεῖσθαι πάτριον.* — *ταπεινῆς*, machtlos. S. zu 7, 4. — 68, 4. *Θρᾷκες*, nicht die barbarischen Thraker, die in historischer Zeit nördlich von Makedonien bis zum Haemos und Ister wohnten, sondern wohl ein griechisches Urvolk (s. zu § 70), dem Orpheus, Musaios, Thamyris angehörten und die den Kult des Dionysos und der Musen hatten (cf. Schoemann, Antiq. publ. p. 38 sq.). Über ihren in Verbindung mit Eumolpos, König von Eleusis, gegen Erechtheus, König von Athen, unternommenen Krieg spricht Isokr. auch 6, 42. 7, 75. 12, 193, wie er auch sonst ein Lieblingsthema athenischer Panegyriker ist; s. d. Stellen bei Maetzner ad Lycurg. p. 243. — 68, 5. *Ἀμαζόνων*. Den Krieg der Amazonen erwähnt Isokr. auch an den angeführten Stellen in Verbindung mit dem Thrakerkriege, auſserdem s. (Lys.) 2, 4 seqq. (Demosth.) 60, 7 f. Plat. Menex. p. 239 B. Plut. Thes. 27. Pausan. 1, 41, 7. — 68, 7. *ἐπῆρχον*, ist de conatu zu verstehen, wie 5, 20 *Θετταλοὺς τοὺς πρότερον ἐπάρχοντας Μακεδονίας*, wo *ἐπάρχειν* wie hier und § 140 = „seine Herrschaft ausbreiten“ (*ἐπί* = dazu), während es 4, 123 u. 144 heiſst „Herrschaft ausüben“ (*ἐπὶ* wie in *ἐπιβουκόλος* u. s. w., vergl. Lehrs de Aristarch.[2] p. 108). — 68, 8. *ἐγκλήματα*. Vergl. 12, 193 *Θρᾷκες μὲν γὰρ μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος εἰσέβαλον εἰς τὴν χώραν ἡμῶν, ὃς ἠμφισβήτησεν Ἐρεχθεῖ τῆς πόλεως φάσκων Ποσειδῶ πρότερον Ἀθηνᾶς καταλαβεῖν αὐτήν· Σκύθαι δὲ μετ' Ἀμαζόνων τῶν ἐξ Ἄρεως γενομένων, αἳ τὴν στρατείαν ἐφ' Ἱππολύτην ἐποιήσαντο τὴν τούς τε νόμους παραβᾶσαν τοὺς παρ' αὐταῖς κειμένους, ἐρασθεῖσάν τε Θησέως καὶ συνακολουθήσασαν ἐκεῖθεν καὶ συνοικήσασαν αὐτῷ.* — 68, 10. *ἁπασῶν δ' ἅμα*, alle zusammen mit einem Male wie 2, 37 *μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅπασαν ἅμα διαλυθεῖσαν*, und sonst; vgl. Strange in Jahns Jahrb. Suppl. III, (1835) p. 452.

69, 1. *οὐ κατώρθωσαν*, hatten kein Glück. S. zu 9, 52.

συμβαλόντες ὁμοίως διεφθάρησαν, ὥσπερ ἂν εἰ πρὸς ἅπαντας
ἀνθρώπους ἐπολέμησαν. δῆλον δὲ τὸ μέγεθος τῶν κακῶν τῶν
γενομένων ἐκείνοις· οὐ γὰρ ἄν ποθ' οἱ λόγοι περὶ αὐτῶν
τοσοῦτον χρόνον διέμειναν, εἰ μὴ καὶ τὰ πραχθέντα πολὺ
70 τῶν ἄλλων διήνεγκεν. λέγεται δ' οὖν περὶ μὲν Ἀμαζόνων, ὡς e
τῶν μὲν ἐλθουσῶν οὐδεμία πάλιν ἀπῆλθεν, αἱ δ' ὑπολειφθεῖ-
σαι διὰ τὴν ἐνθάδε συμφορὰν ἐκ τῆς ἀρχῆς ἐξεβλήθησαν,
περὶ δὲ Θρᾳκῶν, ὅτι τὸν ἄλλον χρόνον ὅμοροι προσοικοῦντες
ἡμῖν τοσοῦτον διὰ τὴν τότε στρατείαν διέλιπον, ὥστ' ἐν τῷ 55
μεταξὺ τῆς χώρας ἔθνη πολλὰ καὶ γένη παντοδαπὰ καὶ πόλεις
μεγάλας κατοικισθῆναι.

71 (κ'.) Καλὰ μὲν οὖν καὶ ταῦτα καὶ πρέποντα τοῖς περὶ
τῆς ἡγεμονίας ἀμφισβητοῦσιν, ἀδελφὰ δὲ τῶν εἰρημένων καὶ
τοιαῦθ' οἷά περ εἰκὸς τοὺς ἐκ τοιούτων γεγονότας, οἱ πρὸς
Δαρεῖον καὶ Ξέρξην πολεμήσαντες ἔπραξαν. μεγίστου γὰρ

— 69, 3. ὥσπερ ἄν, scil. διεφθάρησαν. S. zu **4, 148.**

70, 2. ὑπολειφθεῖσαι, die zu Hause geblieben und nicht mitgezogen waren. — 70, 3. ἐκ τῆς ἀρχῆς ἐξεβλ., ihre Herrschaft verloren, denn vordem waren sie ἄρχουσαι πολλῶν ἐθνῶν, nach (Lys.) 2, 5. — 70, 4. ὅμοροι. Die Thraker safsen ehedem in Eleusis und in Teilen von Boeotien und Phokis. S. Schoemann l. l. p. 38. Sie verschmolzen dort im Laufe der Zeit mit anderen dort sefshaften Stämmen, während sie Isokr., der sie offenbar mit den Thrakern der historischen Zeit identifiziert, nach Thrakien sich zurückziehend denkt. — 70, 5. διέλιπον, liefsen einen solchen Zwischenraum zwischen sich und uns, d. h. zogen sich so weit zurück. [cf. Krit. Anh.] — ἐν τῷ μεταξὺ τῆς χώρας ist nicht einfach = „in dem Zwischenraume", was ἐν τῇ μ. χώρᾳ heifsen müfste, sondern in dem Zwischenraume zwischen ihrem Lande und uns, nicht als ob, wie Benseler will, der Singular τῆς χώρας von Thrakien und Attika zugleich verstanden werden könnte, sondern nach einem seltneren Sprachgebrauche ist von einem Zwischenraume nur der eine ihn begrenzende Raum (hier τῆς χώρας i. e. Θρᾴκης) angegeben, der andere aber weggelassen, weil er den Standpunkt des redenden Subjektes bildet und insofern sich von selbst versteht. Ganz ähnlich Aristoph. Av. v. 187 ἐν μέσῳ δήπουθεν ἀήρ ἐστι γῆς, d. h. zwischen der Erde und der in den Wolken zu gründenden Vogelstadt (Νεφελοκοκκυγία). Plut. Them. 13, 1 Ξέρξης ἄνω καθῆστο τὸν στόλον ἐποπτεύων — ἐν μεθορίῳ τῆς Μεγαρίδος. — — 70, 6. γένη sind die einzelnen Stämme innerhalb eines ein Land bewohnenden ἔθνος. γένος also ein engerer Begriff, von dem Isokr. zu dem engsten, πόλις (Stadtgemeinde), herabsteigt.

71, 2. ἀδελφά, *gemina*, im Sinne von παραπλήσια, wie 10, 23 ἐξ ἀδελφῶν γεγονότες ἀδελφὰς καὶ τὰς ἐπιθυμίας ἔσχον, und sonst; vergl. Schoemann ad Plut. Agin. 2, 10 ἀδελφοὶ μὲν οὖν οὐκ ἦσαν, συγγενοῦς δὲ καὶ ἀδελφῆς ἥψαντο πολιτείας. — 71, 3. οἷά περ εἰκός, scil. πράττειν. — ἐκ τοιούτων kann hier nicht von der unmittelbaren Abstammung ver-

πολέμου συστάντος ἐκείνου καὶ πλείστων κινδύνων εἰς τὸν b
αὐτὸν χρόνον συμπεσόντων, καὶ τῶν μὲν πολεμίων ἀνυπο-
στάτων οἰομένων εἶναι διὰ τὸ πλῆθος, τῶν δὲ συμμάχων
72 *ἀνυπέρβλητον ἡγουμένων ἔχειν τὴν ἀρετήν, ἀμφοτέρων κρα-*
τήσαντες ὡς ἑκατέρων προσῆκεν, καὶ πρὸς ἅπαντας τοὺς
κινδύνους διενεγκόντες, εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν,
οὐ πολλῷ δ' ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον, δόν-
των μὲν τῶν ἄλλων Ἑλλήνων, οὐκ ἀμφισβητούντων δὲ τῶν
νῦν ἡμᾶς ἀφαιρεῖσθαι ζητούντων. c
73 (*κα'.*) *Καὶ μηδεὶς οἰέσθω μ' ἀγνοεῖν ὅτι καὶ Λακεδαι-*
μόνιοι περὶ τοὺς καιροὺς τούτους πολλῶν ἀγαθῶν αἴτιοι τοῖς
Ἕλλησιν κατέστησαν· ἀλλὰ διὰ τοῦτο καὶ μᾶλλον ἐπαινεῖν ἔχω
τὴν πόλιν, ὅτι τοιούτων ἀνταγωνιστῶν τυχοῦσα τοσοῦτον
αὐτῶν διήνεγκεν. βούλομαι δ' ὀλίγῳ μακρότερα περὶ τοῖν
πολέοιν εἰπεῖν καὶ μὴ ταχὺ λίαν παραδραμεῖν, ἵν' ἀμφοτέρων

standen werden; s. zu § 62. — 71, 5. *πολέμου συστάντος* vgl. Hom. Il. 14, 96 *πολέμοιο συνεσταότος* Plut. Timol. 37, 5 *συνεστῶτος πολέμου.* Thuk. 1, 15, 2, Polyb. 3, 2, 1 *πόλεμος ξυνέστη* wie Plut. Kim. 13 *μάχη συνέστη.* Isokr. 10, 49 *συνεστήσαντο πόλεμον.*

72, 2. *ὡς ἑκατέρων προσῆκεν*, scil. *κρατεῖν*; die Feinde schlugen sie, die Bundesgenossen überboten sie durch noch gröſsere Tapferkeit. Nachgeahmt hat diese Stelle Lykurg. Leokr. 70 *μόνοι δὲ ἀμφοτέρων περιγεγόνασι, καὶ τῶν πολεμίων καὶ τῶν συμμάχων, ὡς ἑκατέρων προσῆκε, τοὺς μὲν εὐεργετοῦντες, τοὺς δὲ μαχόμενοι νικῶντες*, und (Demosth.) 61, 28. Vergl. auch Aristeid. Panath. p. 217 Dind. *τοὺς ἐχθροὺς τοῖς ὅπλοις, τῇ δ' ἐπιεικείᾳ τοὺς φίλους ἐνίκησαν.* — 72, 3. *τῶν ἀ. ἠξιώθησαν*, ihnen wurde der Preis zuerkannt, nicht von wirklicher Preisverteilung zu verstehen, wie sie bei einzelnen Sitte war, sondern von bloſser Anerkennung, in welchem Sinne Herod. 8, 93 sagt *ἐν τῇ ναυμαχίῃ ταύτῃ* (bei Salamis) *ἤκουσαν Ἑλλήνων ἄριστα Αἰγινῆται, ἐπὶ δὲ Ἀθηναῖοι.* Der Isokratische Ausdruck kehrt für dieselbe Sache wieder § 99. 7, 75. 8, 76, wo jedoch *ἀριστείων* ohne Artikel erscheint, welcher die *ἀριστεῖα* als in solchen Fällen regelmäſsig eintretende bezeichnet, etwa wie es 8, 50 heiſst *θανάτου τῆς ζημίας ἐπικειμένης, ἣν τις ἁλῷ δεκάζων.* Vergl. Herod. 8, 11, 1 *τὸ ἀριστήιον ἔλαβε.* — 72, 4. *οὐ πολλῷ δ' ὕ.*, im Jahre 477, nachdem Pausanias durch seinen Hochmut die Bundesgenossen bestimmt hatte von Sparta abzufallen. Vgl. Thuk. 1, 130 und Krüger, Historisch-philol. Studien, S. 38.

73, 1. *καὶ μηδεὶς οἰέσθω* wie 7, 50, 76. 12, 172. 13, 21. 15, 193, 279. 18, 33. — 73, 5. *τοῖν πολέοιν.* S. zu § 17. — 73, 6. *ταχὺ λίαν* i. e. *λίαν ταχύ.* S. zu § 160. — *παραδραμεῖν*, an dem Gegenstande vorübereilen, etwas anders als Ep. 9, 6 *γιγνώσκων, ὅτι ῥᾷόν ἐστι περὶ τῶν γεγενημένων εὐπόρως ἐπιδραμεῖν ἢ περὶ τῶν μελλόντων νοῦν ἐχόντως εἰπεῖν.* Über jenes vergl. Polyb. 10, 43 init. *χρήσιμον εἶναί μοι δοκεῖ τὸ μὴ παραδραμεῖν ἀλλὰ ποιήσασθαι περὶ αὐτοῦ τὴν ἁρμόζουσαν μνήμην.*

ἡμῖν ὑπομνήματα γένηται, τῆς τε τῶν προγόνων ἀρετῆς καὶ d
74 τῆς πρὸς τοὺς βαρβάρους ἔχθρας. καίτοι μ' οὐ λέληθεν, ὅτι
χαλεπόν ἐστιν ὕστατον ἐπελθόντα λέγειν περὶ πραγμάτων
πάλαι προκατειλημμένων καὶ περὶ ὧν οἱ μάλιστα δυνηθέντες
τῶν πολιτῶν εἰπεῖν ἐπὶ τοῖς δημοσίᾳ θαπτομένοις πολλάκις
εἰρήκασιν· ἀνάγκη γὰρ τὰ μὲν μέγιστ' αὐτῶν ἤδη κατα-
κεχρῆσθαι, μικρὰ δ' ἔτι παραλελεῖφθαι. ὅμως δ' ἐκ τῶν ὑπο- e
λοίπων, ἐπειδὴ συμφέρει τοῖς πράγμασιν, οὐκ ὀκνητέον μνη-
σθῆναι περὶ αὐτῶν.

75 (κβ'.) *Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους καὶ μεγίστων ἐπαίνων ἀξίους ἡγοῦμαι γεγενῆσθαι τοὺς τοῖς σώμασιν ὑπὲρ*

74, 2. ἐπελθόντα λέγειν, aufzutreten und zu reden; über ἐπελθεῖν vergl. § 15. ὕστατον gehört nicht zu ἐπελθόντα allein, sondern auch zu λέγειν. — 74, 4. ἐπὶ τοῖς δ. θαπτομένοις, angesichts der . . . . ., verschieden von ἐπὶ τῶν μεγίστων περὶ τούτων διελθεῖν in § 66. — πολλάκις εἰρήκασιν. Es war Sitte in Athen, in Kriegsjahren zur Winterszeit für die im Laufe des Jahres Gefallenen eine öffentliche Totenfeier zu veranstalten, wobei die Gebeine derselben ausgestellt und eine Lobrede (ἐπιτάφιος λόγος) auf sie von einem öffentlich dazu bestellten Manne gehalten wurde. S. Diodor. 13, 33. Thuk. 2, 34. Zu den uns erhaltenen, teils fingierten, teils wirklich vorgetragenen ἐπιταφίοις λόγοις, bei Thuk. 1, 35 ff. (Lys.) 2, Plato Menex. p. 236 D seqq., (Demosthenes) 60, kommt der des Hypereides auf die im lamischen Kriege (323 v. Chr.) Gefallenen, dessen § 29 neben (Lys.) 2, 27 seq. und Plato Menex. p. 239 D seq. lehrt, dafs die Perserkriege ein Lieblingsthema solcher Redner waren. — 74, 5. κατακεχρῆσθαι steht wohl passivisch und nicht mit Ergänzung von τοὺς εἰρηκότας. — 74, 6. δ' ἔτι cf. Krit. Anh. — ἐκ τῶν ὑπολοίπων, ausgehend von dem, was andere unerwähnt liefsen. Isokr. meint nicht sowohl den Umstand, dafs die Vorfahren durch ihr Privat- und politisches Leben die Zeitgenossen des Xerxes und Dareios zu erfolgreichem Widerstande befähigten (§ 75 seq.), sondern den Wetteifer zwischen Athen und Sparta; denn davon ging Isokr. ja hier aus (§ 73) und damit beginnt er die eigentliche Darstellung der Perserkriege (§ 85). — 74, 6. παραλελεῖφθαι. ὅμως. Den sonst von Isokr. sorgfältig gemiedenen Hiatus entschuldigt die Interpunktion. Vergl. auch § 112 ἀφίκοντο; ἤ. — 74, 7. τοῖς πράγμασιν, unserem Vorhaben, nämlich dafs Athen und Sparta sich aussöhnen und sich in die Hegemonie teilen. Wegen des Ausdrucks vergl. Demosth. 23, 128 ἄνευ τοῦ τοῖς πράγμασι μὴ συμφέρειν τὸ ψήφισμα οὐδὲ πρὸς δόξαν συμφέρει τῇ πόλει. Übrigens schliefst sich der Satz mit ἐπειδή eng an οὐκ ὀκνητέον an. — 74, 8. αὐτῶν, die Perserkriege.

§ 75—99. *Tüchtig durch die Vorfahren vorgebildet* (75—81), *bestanden Athen und Sparta die Perserkriege in so rühmlicher Weise, dafs niemand sie genug preisen kann* (82—84). *Sie zeigten dabei den edelsten Wetteifer* (85), *wie in dem Kriege mit Dareios* (86, 87), *so in dem mit Xerxes* (88—98); *und doch mufs Athen der Preis zuerkannt werden, weshalb ihm auch jetzt bei einem Feldzuge gegen die Perser die Hegemonie gebührt* (99).

τῆς Ἑλλάδος προκινδυνεύσαντας· οὐ μὴν οὐδὲ τῶν πρὸ τοῦ
πολέμου τούτου γενομένων καὶ δυναστευσάντων ἐν ἑκατέρᾳ 56
τοῖν πολέοιν δίκαιον ἀμνημονεῖν· ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους καὶ τὰ πλήθη προτρέψαντες ἐπ' ἀρετὴν καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς βαρβάροις ποιήσαντες.
76 οὐ γὰρ ὠλιγώρουν τῶν κοινῶν, οὐδ' ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δ' ὡς ἀλλοτρίων, ἀλλ' ἐκήδοντο μὲν ὡς οἰκείων,
ἀπείχοντο δ' ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων· οὐδὲ πρὸς b
ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον, ἀλλ' οὗτος ἐδόκει πλοῦτον ἀσφαλέστατον κεκτῆσθαι καὶ κάλλιστον, ὅστις τοιαῦτα τυγχάνοι πράττων, ἐξ ὧν αὐτός τε μέλλοι μάλιστ' εὐδοκιμήσειν καὶ τοῖς παισὶν

75, 3. *οὐ μὴν οὐδέ.* Über die doppelte Negation s. zu 9, 43. — 75, 4. *δυναστευσάντων*, nicht *δυναστευόντων*, also: die Regierung übernommen hatten, indem auch hier *δυναστεύειν* von der Besitzergreifung verstanden wird, s. zu 9, 39. — 75, 5. *ἦσαν οἱ προασκήσαντες.* Auch hier erwartet man statt der aoristischen Participia die praesentischen (im Sinne des Imperfekts), indem das *προασκεῖν* u. s. w. sich durch ihr Leben hin erstreckte, nicht diesem vorausging. Doch scheint das Particip des Aorists in Umschreibungen dieser Art (*ἦσαν οἱ προασκήσαντες* = *προήσκησαν*) das Regelmäfsige zu sein; vergl. 7, 51 *ἐκεῖνοι ἦσαν οἱ προτρέψαντες.* Herod. 1, 18, 1 *οὗτος ὁ τὸν πόλεμον ἦν συνάψας.* ibid. 1, 74, 2 *οἱ συμβιβάσαντες αὐτοὺς ἦσαν οἵδε —, οὗτοί σφι καὶ τὸ ὅρκιον οἱ σπεύσαντες.* Demosth. 18, 88 *τίς ἦν ὁ βοηθήσας τοῖς Βυζαντίοις καὶ σώσας αὐτούς; τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους;* Thuk. 8, 68, 1 *ἦν δὲ ὁ τὴν γνώμην ταύτην εἰπὼν Πείσανδρος.* Plut. Kleom. 24, 4 *οὗτος ἦν Φιλοποίμην ὁ πρωτεύσας ὕστερον Ἀχαιῶν καὶ μεγίστην κτησάμενος δόξαν.* Auch wo das verb. fin. ein gewissermafsen historisches Praesens (s. zu 9, 21) ist: Plut. Timol. 33, 2 *Ἱκέτης ἐστὶν Ἀρέτην καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν καταποντίσας.* cf. Held. Vergl. auch zu § 98. — 75, 6. *τὰ πλήθη.* Der Plural steht, weil an die Bürger zweier Städte gedacht wird, ähnlich wie Plat. Gorg. p. 452 E *δυναμένῳ λέγειν καὶ πείθειν τὰ πλήθη.* Vergl. Franke ad Demosth. 6, 24. Anders steht der Plural Isokr. 7, 40 *τὰ πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πόλιν ταύτην*, womit zu vergleichen *μεγέθη*, wie *μεγέθεσι κάλλεσί τε ἔγρων* Plat. Kriti. p. 115 D, und sonst (cf. Krüger zu Thuk. 7, 55, 2), und *μήκη* (cf. Krüger zu Xenoph. Anab. 1, 5, 9).

76, 2. *ἠμέλουν δ' ὡς ἀλλοτρίων* schliefst sich eng an *ἀπέλαυον μὲν ὡς ἰδίων* an und teilt mit ihm die Negation (wie 7, 29). Sie benutzten nicht das Staatsvermögen, als sei es Privatgut, welches zu ihrer Disposition stände (*ἰδίων*) und das sie verschwenden könnten, weil dies ihnen keinen Verlust brächte, da es von anderen erworben (*ἀλλοτρίων*) und nicht das ihrige (*οἰκείων*) sei, das sie sich bewahren müfsten für die notwendigsten Bedürfnisse des Lebens. Über den Gegensatz zwischen *ἴδια* oder *ἀλλότρια* und *οἰκεῖα*, s. zu 7, 24; über *ἀλλότριος* besonders vergl. § 86. — 76, 3. *ὥσπερ χρή*, scil. *ἀπέχειν.* S. zu 9, 28. — *πρὸς ἀργύριον — ἔκρινον*, wie 12, 4 *ἵνα πρὸς τὴν ὑπόθεσιν τὸν λόγον κρίνωσι.* S. zu § 11. — 76, 5. *τοιαῦτα*, in jener Weise, wie zu Anfang dieses § geschildert ist;

77 μεγίστην δόξαν καταλείψειν. οὐδὲ τὰς θρασύτητας τὰς ἀλλήλων
ἐζήλουν, οὐδὲ τὰς τόλμας τὰς αὑτῶν ἤσκουν, ἀλλὰ δεινότερον
μὲν ἐνόμιζον εἶναι κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν ἢ καλῶς
ὑπὲρ τῆς πόλεως ἀποθνήσκειν, μᾶλλον δ' ᾐσχύνοντ' ἐπὶ τοῖς c
κοινοῖς ἁμαρτήμασιν ἢ νῦν ἐπὶ τοῖς ἰδίοις τοῖς σφετέροις αὐτῶν.
78 τούτων δ' ἦν αἴτιον, ὅτι τοὺς νόμους ἐσκόπουν, ὅπως ἀκριβῶς
καὶ καλῶς ἕξουσιν, οὐχ οὕτω τοὺς περὶ τῶν ἰδίων συμβολαίων
ὡς τοὺς περὶ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων·
ἠπίσταντο γάρ, ὅτι τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν
δεήσει πολλῶν γραμμάτων, ἀλλ' ἀπ' ὀλίγων συνθημάτων d
ῥᾳδίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν ὁμονοήσουσιν.
79 οὕτω δὲ πολιτικῶς εἶχον, ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς

denn mit ἐξ ὧν κ. τ. λ. wird auch hier (S. zu 7, 48) nicht der Inhalt der τοιαῦτα, sondern die Folge davon angegeben.

77, 2. τὰς τόλμας τὰς αὑτῶν ἤσ., übten nicht die eigene (angeborne, von vornherein in ihnen vorhandene) Unverschämtheit, im Gegensatz zu denen, welche die θρασύτης von andern erst annehmen. Zu den Pluralen θρασύτητες und τόλμαι vergl. αἰσχύναι 4, 114. 6, 10 ἀκρίβειαι 5, 155, χαλεπότητες 5, 116, αὐθάδειαι und σεμνότητες 6, 98, ῥαθυμίαι und καρτερίαι 9, 42, πρᾳότητες 15, 214 etc., und zu 4, 11. 7, 4. 9, 5 und Bremi Exc. VII. — 77, 3. κακῶς — ἀκούειν ist das regelmäſsige Passiv zu κακῶς λέγειν, daher auch mit ὑπό verbunden, wie hier und 6, 59 und sonst: cf. Cobet. Var. lect. p. 55. — 77, 5. κοινοῖς, der Gesamtheit dem τοῖς ἰδίοις entgegengesetzt wie § 78. 5, 73. — ἢ νῦν, scil. αἰσχύνεταί τις, wie § 81. S. zu 7, 49.

78, 1. ἐσκόπουν, ὅπως — ἕξουσιν. Über das Futur. nach dem Imperf. s. zu 9, 25. — 78, 2 οὐχ οὕτω — ὡς S. zu 1, 47. — τῶν ἰδίων συμβ., die Rechtsverbindlichkeiten zwischen Privaten, wie § 11. 12, 11. 15, 3, 42, 228, 276. (anders 7, 33.) Im Gegensatz dazu ist τὰ κ. ἑ. τ. ἡ. ἐπιτηδεύματα das Verhalten im täglichen Leben, die öffentliche Zucht (ἀγωγή). Vgl. 12, 144 ἑώρων — μᾶλλον ἐσπουδασμένους τοὺς περὶ τῶν κοινῶν ἐπιτηδευμάτων ἢ τοὺς περὶ τῶν ἰδίων συμβολαίων (νόμους). — 78, 5. γραμμάτων, geschriebener Gesetze, wie 7, 39 und 41, wo derselbe Gedanke wie hier behandelt wird. — ἀπ' ὀλίγων συνθημάτων, mit Hülfe weniger vereinbarter Sätze, ἀπό wie 15, 111 Σάμον Περικλῆς ἀπὸ διακοσίων (νεῶν) καὶ χιλίων ταλάντων κατεπολέμησεν, und sonst. Vgl. Baehr ad Plut. Philop. p. 39.

79, 1. οὕτω δὲ πολιτικῶς εἶχον, so sehr waren sie Staatsbürger, d. h. so sehr hatten sie immer nur den Staat im Auge, also: so patriotisch waren sie. Vergl. 15, 77 τίς ἂν (λόγος) πολιτικώτερος καὶ μᾶλλον πρέπων τῇ πόλει τοῦ τὴν ἡγεμονίαν ἀποφαίνοντος ἡμετέραν οὖσαν, und unten § 151. — τὰς στάσεις ἐποιοῦντο, — οὐχ ὁπότεροι, jene (aus der Geschichte bekannten; s. zu § 22) Parteikämpfe unter einander führten nicht *um die Frage* u. s. w. Denn στάσιν ποιεῖσθαι involviert den Begriff, daſs etwas (streitig und) fraglich sei, wie oft die Verba der Furcht, der Verwunderung und selbst der Wahrnehmung (s. Krüger Synt. § 65, 1, 7—10). Ähnlich wie hier auch § 85 und Hom. Il. 5, 32 οὐκ ἂν

ἀλλήλους, οὐχ ὁπότεροι τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν ἄρξουσιν, ἀλλ' ὁπότεροι φθήσονται τὴν πόλιν ἀγαθόν τι ποιήσαντες· καὶ τὰς ἑταιρείας συνῆγον οὐχ ὑπὲρ τῶν ἰδίᾳ
80 *συμφερόντων ἀλλ' ἐπὶ τῇ τοῦ πλήθους ὠφελείᾳ. τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ τῶν ἄλλων διῴκουν, θεραπεύοντες ἀλλ' οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας, καὶ στρατηγεῖν οἰόμενοι δεῖν* e
ἀλλὰ μὴ τυραννεῖν αὐτῶν, καὶ μᾶλλον ἐπιθυμοῦντες ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι καὶ σωτῆρες ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι, τῷ ποιεῖν εὖ προσαγόμενοι τὰς πόλεις, ἀλλ' οὐ
81 *βίᾳ καταστρεφόμενοι, πιστοτέροις μὲν τοῖς λόγοις ἢ νῦν τοῖς* 57
ὅρκοις χρώμενοι, ταῖς δὲ συνθήκαις ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες, οὐχ οὕτως ἐπὶ ταῖς δυναστείαις μέγα φρονοῦντες, ὡς ἐπὶ τῷ σωφρόνως ζῆν φιλοτιμούμενοι, τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους ἥνπερ τοὺς κρείττους πρὸς σφᾶς

171, 1. *τυχόν*, vielleicht, wie 3, 47. **5**, 94. 8, 60, 120. 11, 27. 12, 150. 15, 192. Ep. 9, 16, ein Nominativ. absolut. wie *ἐξόν*, *δέον*, *προσῆκον* u. s. w. von dem unpersönlich gebrauchten *τυγχάνειν*, wofür das persönliche (*εἰ ἔτυχον*) weit häufiger ist; s. zu **7, 29.** — *προαπεῖπον*, nämlich *συμβουλεύοντες πρὶν συμπερᾶναί τι.* Für die Bedeutung vergl. zu **§ 92.** — 171, 2. *ἀλλ᾽ οὖν — γε*, *at-certe*, doch wenigstens, wie oft nach einem hypothetischen (**1, 39.** 3, 18. **5, 85.** 11, 6, 28. 12, 27, 202. 18, 23), seltener nach einem kausalen Satze (20, 14) oder einem hypothetischen Particip (**5, 68**). — *ὥσπερ χρησμούς*, wie eine unumstöfsliche, von der Gottheit selbst vertretene Wahrheit. Vergl. Lykurg. Leokrat. 92 *καί μοι δοκοῦσι τῶν ἀρχαίων τινὲς ποιητῶν ὥσπερ χρησμοὺς γράψαντες τοῖς ἐπιγενομένοις — ἰαμβεῖα καταλιπεῖν.* Plut. Moral. p. 57 F (*ὁ κόλαξ*) *ἀκούσας, ὅτι ἂν εἴπῃ, χρησμὸν εἰληφέναι φήσας, οὐ γνώμην, ἄπεισιν.* id: p. 338 A *τὰς ἀποκρίσεις* (Demetrii) *χρησμοὺς προσηγόρευον.* Ebenso *oraculum;* s. Cicero de nat. deor. 1, 24 *haec ego nunc physicorum oracula fundo, vera an falsa, nescio.* — 171, 4. *ἐπὶ μικροῖς*, wie *ἐφ᾽ αἷς μάλιστ᾽ ἐσπούδασαν* 2, 44 (S. Kühner ad Xenoph. Mem. 1, 3, 11), da-

τῶν πολιτικῶν ἐξεστηκόσιν περὶ τηλικούτων πραγμάτων συμ-
172 βουλεύειν παραλελοίπασιν. Οὐ μὴν ἀλλ' ὅσῳ μικροψυχότεροι
τυγχάνουσιν ὄντες οἱ προεστῶτες ἡμῶν, τοσούτῳ τοὺς ἄλλους
ἐρρωμενεστέρως δεῖ σκοπεῖν, ὅπως ἀπαλλαγησόμεθα τῆς παρ-
ούσης ἔχθρας. νῦν μὲν γὰρ μάτην ποιούμεθα τὰς περὶ τῆς
εἰρήνης συνθήκας· οὐ γὰρ διαλυόμεθα τοὺς πολέμους ἀλλ' e
ἀναβαλλόμεθα καὶ περιμένομεν τοὺς καιρούς, ἐν οἷς ἀνή-
173 κεστόν τι κακὸν ἀλλήλους ἐργάσασθαι δυνησόμεθα. (μϛ'.) Δεῖ
δὲ ταύτας τὰς ἐπιβουλὰς ἐκποδὼν ποιησαμένους ἐκείνοις τοῖς
ἔργοις ἐπιχειρεῖν, ἐξ ὧν τάς τε πόλεις ἀσφαλέστερον οἰκήσο-
μεν καὶ πιστότερον διακεισόμεθα πρὸς ἡμᾶς αὐτούς. ἔστι δ'
ἁπλοῦς καὶ ῥᾴδιος ὁ λόγος ὁ περὶ τούτων· οὔτε γὰρ εἰρήνην
οἷόν τε βεβαίαν ἀγαγεῖν, ἢν μὴ κοινῇ τοῖς βαρβάροις πολε-
μήσωμεν, οὔθ' ὁμονοῆσαι τοὺς Ἕλληνας, πρὶν ἂν καὶ τὰς 77
ὠφελίας ἐκ τῶν αὐτῶν καὶ τοὺς κινδύνους πρὸς τοὺς αὐτοὺς
174 ποιησώμεθα. τούτων δὲ γενομένων καὶ τῆς ἀπορίας τῆς περὶ
τὸν βίον ἡμῶν ἀφαιρεθείσης, ἣ καὶ τὰς ἑταιρίας διαλύει καὶ

gegen ὑπέρ τινος σπουδάζειν 5, 127. 8, 13, περί τινος 6, 35 πρός τι Ep. 6, 5 und τὰ περὶ τὰς θυσίας ἐσπούδασεν 11, 28. — 171, 5. τῶν πολιτικῶν ἐξεστηκόσιν = τοῖς πόρρω οὖσι τῶν πολιτικῶν, wie es § 113 hieſs. Isokr. nennt sich selbst 5, 81 (coll. 12, 9 seqq. Ep. 1, 9) πρὸς τὸ πολιτεύεσθαι πάντων ἀφυέστατον, weshalb er sich von der Verwaltung des Staates fern gehalten habe.

172, 1. μικροψυχότεροι, indem sie nicht für die höchsten Interessen von Hellas thätig sind, sondern ihre Ehre nur in Dingen von untergeordneter Wichtigkeit finden (vergl. § 170 seq.), also kleinlich gesinnt. — 172, 4. ἔχθρας, wie sie unter uns Hellenen besteht. — νῦν μὲν γάρ — οὐ γάρ. Zwei auf einander folgende Sätze mit γάρ sind auch bei Isokr. sehr gewöhnlich, teils so, daſs der zweite Satz den ersten begründet (wie § 92, 145, 185, 186. 5, 34. 8, 33, 101. 9, 9 etc.), teils, aber seltener (S. Krüger zu Xenoph. Anab. 5, 6, 4), so, daſs beide gleichmäſsig einen vorangehenden dritten Satz begründen, wie 12, 59 τὰ τοίνυν πρὸς τοὺς βαρβάρους δηλωτέον· ἔτι γὰρ τοῦτο λοιπόν ἐστιν. ἐπὶ μὲν γὰρ τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς κ. τ. λ. Hom. Il. 21, 439 ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἔμοιγε | καλόν. Drei Sätze hinter einander mit γάρ bei Hom. Il. 9, 401 seqq. (cf. Bekker Hom. Blätter II p. 12). Lys. 13, 13. Isokr. 5, 141. Herod. 1, 199, 3, fünf bei Plato Apol. p. 40 A.

173, 2. ἐκποδὼν ποιη., s. zu 9, 26. — ἐκείνοις, auf das folgende bezüglich; s. zu 9, 39. — 173, 7. τὰς ὠφελίας, κ. τ. λ., bei den nämlichen Gegnern unsere Vorteile und mit den nämlichen Gegnern unsere Kriege suchen. ποιεῖσθαι τοὺς κινδύνους auch 9, 36 und 10, 24 wonach hier auch ὠφελίας π. = ὠφελεῖσθαι gesagt wurde; für ἐκ τῶν αὐτῶν vergl. 10, 24 ἐξ ὧν ἤμελλεν οὐ τοὺς ἄλλους ὠφελήσειν ἀλλ' αὐτὸς κινδυνεύσειν.

174, 2. ἑταιρίας, hier nicht

*τὰς συγγενείας εἰς ἔχθραν προάγει καὶ πάντας ἀνθρώπους εἰς
πολέμους καὶ στάσεις καθίστησιν, οὐκ ἔστιν ὅπως οὐχ ὁμο-
νοήσομεν καὶ τὰς εὐνοίας ἀληθινὰς πρὸς ἡμᾶς αὐτοὺς ἕξομεν.
ὧν ἕνεκα περὶ παντὸς ποιητέον, ὅπως ὡς τάχιστα τὸν ἐνθένδε* b
*πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν, ὡς μόνον ἂν τοῦτ' ἀγα-
θὸν ἀπολαύσαιμεν τῶν κινδύνων τῶν πρὸς ἡμᾶς αὐτούς, εἰ
ταῖς ἐμπειρίαις ταῖς ἐκ τούτων γεγενημέναις πρὸς τὸν βάρβα-
ρον καταχρήσασθαι δόξειεν ἡμῖν.*

175 (μζ΄.) *Ἀλλὰ γὰρ ἴσως διὰ τὰς συνθήκας ἄξιον ἐπισχεῖν,
ἀλλ' οὐκ ἐπειχθῆναι καὶ θᾶττον ποιήσασθαι τὴν στρατείαν;* c
*δι' ἃς αἱ μὲν ἠλευθερωμέναι τῶν πόλεων βασιλεῖ χάριν ἴσα-
σιν, ὡς δι' ἐκεῖνον τυχοῦσαι τῆς αὐτονομίας ταύτης, αἱ δ'
ἐκδεδομέναι τοῖς βαρβάροις μάλιστα μὲν Λακεδαιμονίοις ἐπι-
καλοῦσιν, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις τοῖς μετασχοῦσιν τῆς εἰ-
ρήνης, ὡς ὑπὸ τούτων δουλεύειν ἠναγκασμέναι. καίτοι πῶς*

im politischen Sinne wie § **79.** — 174, 5. *ἀληθινάς*, steht, wie das Fehlen des Artikels vor ihm lehrt, nicht attributivisch, sondern als Praedikat: das Wohlwollen, welches wir — haben, wird ein aufrichtiges sein. — *ἡμᾶς αὐτούς* = *ἀλλήλους*. S. zu § **3.** — 174, 6. *περὶ παντὸς ποιητέον*, wir müssen es als unsere allerwichtigste Aufgabe ansehen; s. zu **5, 14.** — *ἐνθένδε* ist in gleicher Weise gesetzt wie § 187 *τὴν εὐδαιμονίαν τὴν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην διακομίσαιμεν* (vgl. auch § **88, 96** u. s. w.), indem, wenn neben attributivischen Nebenbestimmungen, welche das Verweilen an einem Orte bezeichnen, ein verbum finitum eintritt, welches das Sichentfernen von dem Orte ausdrückt, das lokale Attribut sich dem verbum finitum accomodiert; daher auch 11, 17 *Λακεδαιμονίους μέρος τι τῶν ἐκεῖθεν μιμουμένους* (dagegen auch 8, 79 *τοὺς βελτίστους τῶν ἐν ταῖς ἄλλαις πόλεσιν ἐξέβαλλον*, und Lys. 12, 10 *τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν*), und so öfter bei Lokaladverbien; vergl. Stallbaum ad Plat. Phaedo. p. 76 D, Schäfer App. ad Demosth. IV p. 119, Engelhardt ad Plat. Lach. p. 23. — 174, 7. *διοριοῦμεν*, über unsere Grenzen nach — versetzen, wie Plat. de legg. IX p. 873 E *τὸ ὄφλον ἔξω τῶν ὅρων τῆς χώρας ἀποκτείναντας διορίσαι.* — *ὡς*, denn. S. zu **9, 80.**

175, 1. *ἀλλὰ γάρ*. S. zu § **140.** — *συνθήκας*, des antalkidischen Friedens. — 175, 3. *δι' ἅς*. Der Relativsatz giebt das Material zur Verneinung der aufgestellten Frage, indem er die doppelte Schmach, welche für die Hellenen in dem Friedensschlusse lag, schildert, worauf dann mit *καίτοι πῶς* jene Frage wirklich verneint wird. — 175, 5. *ἐκδεδομέναι — Λακεδαιμονίοις*. S. § **122.** — 175, 8. *τοιαύτη δόξα γ. ὡς*, eine so schmachvolle Ansicht gangbar geworden ist, die, daſs. Wegen *ὡς* nach *τοιαύτη*, was auch hier (S. zu 7, **48**) einen in sich abgeschlossenen Begriff bildet, welcher der Ergänzung durch einen Relativsatz nicht erst bedarf, vergl. 8, 66 *μὴ καταγνῶναί μου τοιαύτην μανίαν, ὡς ἄρ' ἐγὼ προειλόμην ἂν διαλεχθῆναι.* 15, 273 *δέομαι δ' ὑμῶν μὴ προκαταγνῶναί μου τοιαύτην μανίαν, ὡς ἄρ' ἐγὼ κινδυνεύων προειλόμην ἂν λόγους εἰπεῖν.* Ep. 6, 4 *μηδὲν ὑπολάβητε*

*οὐ χρὴ διαλύειν ταύτας τὰς ὁμολογίας, ἐξ ὧν τοιαύτη δόξα
γέγονεν, ὡς ὁ μὲν βάρβαρος κήδεται τῆς Ἑλλάδος καὶ φύλαξ* d
τῆς εἰρήνης ἐστίν, ἡμῶν δέ τινές εἰσιν οἱ λυμαινόμενοι καὶ
176 *κακῶς ποιοῦντες αὐτήν; ὃ δὲ πάντων καταγελαστότατον, ὅτι
τῶν γεγραμμένων ἐν ταῖς ὁμολογίαις τὰ χείριστα τυγχάνομεν
διαφυλάττοντες. ἃ μὲν γὰρ αὐτονόμους ἀφίησιν τάς τε νήσους
καὶ τὰς πόλεις τὰς ἐπὶ τῆς Εὐρώπης, πάλαι λέλυται καὶ μά-
την ἐν ταῖς στήλαις ἐστίν· ἃ δ' αἰσχύνην ἡμῖν φέρει καὶ
πολλοὺς τῶν συμμάχων ἐκδέδωκεν, ταῦτα δὲ κατὰ χώραν μέ-* e
*νει καὶ πάντες αὐτὰ κύρια ποιοῦμεν, ἃ χρῆν ἀναιρεῖν καὶ
μηδὲ μίαν ἐᾶν ἡμέραν νομίζοντας προστάγματα καὶ μὴ συν-
θήκας εἶναι. τίς γὰρ οὐκ οἶδεν, ὅτι συνθῆκαι μέν εἰσιν,
αἵτινες ἂν ἴσως καὶ κοινῶς ἀμφοτέροις ἔχωσιν, προστάγματα* 78
177 *δὲ τὰ τοὺς ἑτέρους ἐλαττοῦντα παρὰ τὸ δίκαιον; διὸ καὶ τῶν
πρεσβευσάντων ταύτην τὴν εἰρήνην δικαίως ἂν κατηγοροῖμεν,
ὅτι πεμφθέντες ὑπὸ τῶν Ἑλλήνων ὑπὲρ τῶν βαρβάρων
ἐποιήσαντο τὰς συνθήκας. ἐχρῆν γὰρ αὐτούς, εἴτ' ἐδόκει
τὴν αὑτῶν ἔχειν ἑκάστους, εἴτε καὶ τῶν δοριαλώτων ἐπάρ-
χειν, εἴτε τούτων κρατεῖν ὧν ὑπὸ τὴν εἰρήνην ἐτυγχάνομεν*

τοιοῦτον, ὡς ἄρ' ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολήν. — 175, 9. *κήδεται — φύλαξ*, den Frieden, welcher die Staaten frei machte, gab und ihn aufrecht erhält. — 175, 10. *λυμαινόμενοι*, durch Preisgeben der kleinasiatischen Hellenen.

176, 1. *ὃ δὲ — ὅτι.* S. zu 7, 68. — 176, 2. *τὰ χείριστα*, die für uns ungünstigsten Bestimmungen. — 176, 4. *ἐπὶ τῆς Εὐρώπης* (= *ἐν τῇ Εὐρ.*, wie 5, 152 und *οἱ ἐπὶ τῆς Ἀσίας κατοικοῦντες* 12, 103, und oft bei den Rednern (auch Isokr. 7, 9) und Historikern *αἱ ἐπὶ Θρᾴκης πόλεις*, aber auch *ἐπὶ ξένης ἀλᾶσθαι* § 168, *ἐπὶ τῶν ἐργαστηρίων καθίζοντες* 7, 15 u. s. w.) gehört nicht auch zu *νήσους*, denn unter diesen versteht Isokr. ja auch die *περὶ τὴν ἤπειρον*, Rhodos, Samos, Chios (s. § 163). — *λέλυται*, von den Spartanern; s. zu § 132 und § 125 seq. — *μάτην.* S. zu § 5. — 176, 5. *ἐν ταῖς στήλαις.* S. zu § 180. — 176, 6. *ταῦτα δέ.* Über die Wiederholung des *δέ* s. zu 7, 47. — *κατὰ χώραν μένει*, hat noch Bestand, ist unverändert; vgl. über die Phrase Schoemann ad Plut. Agin p. 158. — 176, 8. *μηδὲ μίαν*, [cf. Krit. Anh.] ist stärker als *μηδεμίαν*. S. zu 9, 47. — *προστάγματα*, Machtsprüche, wie *προστάττων* § 120. — 176, 10. *ἴσως καὶ κοινῶς*, gerecht und unparteiisch.

177, 2. *πρεσβευσάντων τ. τ. εἰρήνην*, wie Andokid. 3, 23 *ποίαν τιν' οὖν χρὴ εἰρήνην πρεσβεύοντας ἥκειν*, und Demosth. 19, 134 und 273, Aeschin. 3, 80, indem *πρεσβεύειν* prägnant den Begriff *ποιεῖν* mit einschliefst, ähnlich wie in *δίκην εἰσελθεῖν* 18, 24, 38, 51. — 177, 5. *τὴν αὑτῶν*, nur ihr Land, wie das folgende *καί* lehrt. — *δοριαλώτων*, was sie irgend einmal erobert hätten, was ihnen aber im Laufe der Kriege entrissen worden wäre. — 177, 6. *ὑπὸ τὴν εἰρήνην*, zur Zeit des Friedensschlusses,

ἔχοντες, ἕν τι τούτων ὁρισαμένους καὶ κοινὸν τὸ δίκαιον
178 *ποιησαμένους, οὕτω συγγράφεσθαι περὶ αὐτῶν. νῦν δὲ τῇ* b
μὲν ἡμετέρᾳ πόλει καὶ τῇ Λακεδαιμονίων οὐδεμίαν τιμὴν ἀπένειμαν, τὸν δὲ βάρβαρον ἁπάσης τῆς Ἀσίας δεσπότην κατέστησαν, ὥσπερ ὑπὲρ ἐκείνου πολεμησάντων ἡμῶν, ἢ τῆς μὲν Περσῶν ἀρχῆς πάλαι καθεστηκυίας, ἡμῶν δ' ἄρτι τὰς πόλεις κατοικούντων, ἀλλ' οὐκ ἐκείνων μὲν νεωστὶ ταύτην τὴν τιμὴν ἐχόντων, ἡμῶν δὲ τὸν ἅπαντα χρόνον ἐν τοῖς Ἕλλησιν
179 *δυναστευόντων. (μη'.) Οἶμαι δ' ἐκείνως εἰπὼν μᾶλλον δη-* c
λώσειν τήν τε περὶ ἡμᾶς ἀτιμίαν γεγενημένην καὶ τὴν τοῦ βασιλέως πλεονεξίαν. τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης δίχα τετμημένης, καὶ τῆς μὲν Ἀσίας, τῆς δ' Εὐρώπης καλουμένης, τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος ἀλλ' οὐ πρὸς ἀν-

wie oft *ὑπὸ νύκτα* (sub noctem) „beim Beginne der Nacht." — 177, 7. *κοινὸν τὸ δίκ. π.*, allen gerecht werden. — 177, 8. *οὕτω* faſst den Inhalt der vorangegangenen Participien noch einmal nachdrücklich zusammen, wie oft; vgl. Ellendt ad Arrian Anab. 1, p. 4. — *συγγράφεσθαι*, nicht = *συγγράφειν*, sondern: „durch eine Urkunde sich verbindlich machen." Vgl. 12, 158 *εἰρήνην συνεγράψαντο*.

178, 2. *οὐδ. τιμὴν ἀπ.*, nahmen keine Rücksicht, wie Plat. de legg. VIII p. 837 C *τιμὴν οὐδεμίαν ἀπονέμων τῷ τῆς ψυχῆς ἤθει*. Aeschyl. Eumen. 624 *τὸν πατρὸς φόνον | πράξαντα μητρὸς μηδαμοῦ τιμὰς νέμειν*; und sonst. — 178, 4. *πολεμησάντων*, als hätten wir alle unsere Kriege unter einander nur zu dem Zwecke geführt, ihn mächtiger zu machen. — 178, 6. *ἀλλ' οὐκ*, und nicht vielmehr, wie § 11 und 179, ebenso 7, 1. 15, 89, überall nach *ὥσπερ*, aber auch in Gegenfragen, deren erste verneint werden soll, wie 18, 20 *ἆρα μικρῷ τῷ δικαίῳ πιστεύων τὴν παραγραφὴν ἐποιησάμην, ἀλλ' οὐ τῶν μὲν συνθηκῶν διαρρήδην ἀφιεισῶν τοὺς ἐνδείξαντας κ. τ. λ.* 15, 60, 229, 251. — *νεωστί*. Vergl. 6, 27 *ὁ βάρβαρος οὔπω διακόσι' ἔτη κατέσχηκε τὴν ἀρχήν*. — *ταύτην τὴν τιμήν*, i. e. *τὴν ἀρχήν*, jene ehrenvolle Stellung einnähmen. Ähnlich 8, 144 *ἄξιον οὖν ὀρέγεσθαι τῆς τοιαύτης ἡγεμονίας. ἔνεστι δ' ἐν τοῖς πράγμασιν ἡμῶν τυχεῖν τῆς τιμῆς ταύτης*, und 2, 37. 5, 107. 9, 34. 12, 257. Vergl. auch zu § 119.

179, 1. *ἐκείνως* i. e. *ἐκ τῶν ἐχομένων*, wie es 9, 33 heiſst. Vergl. zu 9, 39. — 179, 2. *ἀτιμίαν*, Mangel an Rücksicht, auf das *οὐδεμίαν τιμὴν ἀπονέμειν* zurückdeutend. *γεγενημένην* sollte neben *περὶ ἡμᾶς* stehen; doch vgl. zu 1, 29. — 179, 3. *τῷ κόσμῳ*, unter dem gestirnten Himmel, unter der Sonne; vergl. Hom. Il. 4, 44 *ὑπ' ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι*. Über diese Bedeutung von *κόσμος*, nämlich = *οὐρανός*, die von Pythagoras zuerst gebraucht sein soll, vergl. Ast ad Plat. Epinom. p. 606, Stallbaum ad Plat. Timae. p. 27 A. — 179, 4. *δίχα*. S. zu § 35. — *καί* = *et quidem*. Vergl. zu 7, 21. — 179, 6. *πρὸς τὸν Δία*, mit d. Z. *πρός* ist bei den Ausdrücken „sich worin teilen mit einem" (teilend abgeben an . . .) nicht ungewöhnlich. So *νέμεσθαι πρός τινα* Lys. 16, 10.

180 θρώπους τὰς συνθήκας ποιούμενος. καὶ ταύτας ἡμᾶς ἠνάγ- d
κασεν ἐν στήλαις λιθίναις ἀναγράψαντας ἐν τοῖς κοινοῖς τῶν
ἱερῶν καταθεῖναι, πολὺ κάλλιον τρόπαιον τῶν ἐν ταῖς μάχαις
γιγνομένων· τὰ μὲν γὰρ ὑπὲρ μικρῶν ἔργων καὶ μιᾶς τύχης
ἐστίν, αὗται δ' ὑπὲρ ἅπαντος τοῦ πολέμου καὶ καθ' ὅλης τῆς
Ἑλλάδος ἑστήκασιν.

181 Ὑπὲρ ὧν ἄξιον ὀργίζεσθαι καὶ σκοπεῖν, ὅπως τῶν τε
γεγενημένων δίκην ληψόμεθα καὶ τὰ μέλλοντα διορθωσόμεθα.
καὶ γὰρ αἰσχρὸν ἰδίᾳ μὲν τοῖς βαρβάροις οἰκέταις ἀξιοῦν e
χρῆσθαι, δημοσίᾳ δὲ τοσούτους τῶν συμμάχων περιορᾶν αὐ-
τοῖς δουλεύοντας, καὶ τοὺς μὲν περὶ τὰ Τρωϊκὰ γενομένους
μιᾶς γυναικὸς ἁρπασθείσης οὕτως ἅπαντας συνοργισθῆναι
τοῖς ἀδικηθεῖσιν, ὥστε μὴ πρότερον παύσασθαι πολεμοῦντας,
πρὶν τὴν πόλιν ἀνάστατον ἐποίησαν τοῦ τολμήσαντος ἐξαμαρ- 79
182 τεῖν, ἡμᾶς δ' ὅλης τῆς Ἑλλάδος ὑβριζομένης μηδεμίαν ποιή-
σασθαι κοινὴν τιμωρίαν, ἐξὸν ἡμῖν εὐχῆς ἄξια διαπράξασθαι.

Isae. 7, 5. Plut. Cicer. 46, Anton. 21, 55. *διανέμεσθαι πρός τινα* Timol. 9. *ἰσομοιρῆσαι πρὸς ἀλλήλας* Isokr. **4**, **17**. **5**, **39**. *διαιρεῖσθαι πρός τινα* 12, 42, 255. *μερίζεσθαι πρός τινα* (Demosth.) 47, 34 u. s. w. Übrigens wird mit jenem Vergleiche nicht auf die ungewöhnliche, über menschliche Verhältnisse hinausgehende Gröſse der Besitzungen des Perserkönigs hingedeutet, sondern es soll damit das anspruchsvolle, übermütige Wesen desselben gekennzeichnet werden; er thut, als habe er mit Zeus geteilt, so daſs Menschen nicht mitzureden hätten in einer Sache, die nur ihn und den Zeus anginge.

180, 2. *κοινοῖς τῶν ἱερῶν*, in den allen (Hellenen) gemeinsamen Heiligtümern, etwa in Olympia; daſs dort Säulen mit Friedensverträgen errichtet zu werden pflegten, lehren Thuk. 5, 18, 10 Pausan. 5, 23, 3. Livius 26, 24. Wenn dagegen geltend gemacht worden ist, daſs von dem nämlichen antalkidischen Frieden Isokr. 12, 107 sagt *τὰς συνθήκας αὐτοί τε (Λακεδαιμόνιοι) ἐν τοῖς ἱεροῖς τοῖς σφετέροις αὐτῶν ἀνέγραψαν καὶ τοὺς συμμάχους ἠνάγκασαν*, so vergaſs man, daſs das Eine das Andere nicht ausschlieſst und daſs hier eine Lokalität zu nennen war, welche, indem sie in Wahrheit allen Hellenen angehörte, das Aufstellen der Friedenssäule dort wirklich als ein Siegesdenkmal über alle Hellenen erscheinen lieſs. — 180, 3. *ἐν ταῖς μάχαις*, auf den Schlachtfeldern; vergl. über diese Bedeutung Krüger zu Thuk. 5, 50, 3, dens. zu Xenoph. Anab. 2, 2, 6 u. Held ad Plut. Timol. p. 460. — 180, 4. *μιᾶς τύχης* (noch von *ὑπέρ* abhängig, über welches zu § **150**, wo auch über *κατά*) zu Ehren eines einzelnen glücklichen Ereignisses. Vergl. 15, 128 *εἴ τις μιᾷ τύχῃ τηλικοῦτόν τι κατώρθωσεν ὥσπερ Λύσανδρος*.

181, 3. *ἰδίᾳ μέν*, daſs, während wir im Privatleben u. s. w. S. zu **1**, **12**. — 181, 4. *περιορᾶν*. S. zu § **142**.

182, 2. *εὐχῆς ἄξια*, Erfolge, welche eines Gelübdes an die Götter für den Fall ihres Eintretens wohl wert sind. Ähnlich

μόνος γὰρ οὗτος ὁ πόλεμος εἰρήνης κρείττων ἐστίν, θεωρίᾳ μὲν μᾶλλον ἢ στρατείᾳ προσεοικώς, ἀμφοτέροις δὲ συμφέρων, καὶ τοῖς ἡσυχίαν ἄγειν καὶ τοῖς πολεμεῖν ἐπιθυμοῦσιν. ἐξείη b
γὰρ ἂν τοῖς μὲν ἀδεῶς τὰ σφέτερ' αὐτῶν καρποῦσθαι, τοῖς δ' ἐκ τῶν ἀλλοτρίων μεγάλους πλούτους κατακτήσασθαι.
183 (μθ'.) *Πολλαχῇ δ' ἄν τις λογιζόμενος εὕροι ταύτας τὰς πράξεις μάλιστα λυσιτελούσας ἡμῖν. φέρε γάρ, πρὸς τίνας χρὴ πολεμεῖν τοὺς μηδεμιᾶς πλεονεξίας ἐπιθυμοῦντας ἀλλ' αὐτὸ τὸ δίκαιον σκοποῦντας; οὐ πρὸς τοὺς καὶ πρότερον κακῶς τὴν Ἑλλάδα ποιήσαντας καὶ νῦν ἐπιβουλεύοντας καὶ πάντα*
184 *τὸν χρόνον οὕτω πρὸς ἡμᾶς διακειμένους; τίσιν δὲ φθονεῖν* c
εἰκός ἐστιν τοὺς μὴ παντάπασιν ἀνάνδρως διακειμένους ἀλλὰ μετρίως τούτῳ τῷ πράγματι χρωμένους; οὐ τοῖς μείζους μὲν

5, 19 *ἐκεῖνος οὐκ ἐλάττω τὴν βασιλείαν πεποίηκεν ἀλλ' εὐχῆς ἄξια διαπέπρακται.* — 182, 3. *θεωρίᾳ κ. τ. λ.* der mehr einem Zuge zu einem Feste als einem Feldzuge gleicht. *θεωρίαι* sind die Festgesandtschaften, die von jedem hellenischen Staate nach Olympia etc. gesendet wurden, um dort bei der Feier der grofsen Nationalfeste ihren Staat zu vertreten. Vergl. Hermann Gottesdienstl. Altert. § 31. Eine andere Bedeutung hat *θεωρία* 17, 4 *γεμίσας ὁ πατήρ μου δύο ναῦς σίτου καὶ χρήματα δοὺς ἐξέπεμψεν ἅμα καὶ κατ' ἐμπορίαν καὶ κατὰ θεωρίαν* („um Handel zu treiben und mich umzusehen").

183, 1. *πολλαχῇ* ist mit *λυσιτελούσας* zu verbinden. — *ταύτας τὰς πράξεις μ. λ. ἡμῖν*, nicht: „dafs diese Unternehmungen uns vor allem frommen," wie allgemein erklärt wird, denn im folgenden werden ja nicht Vorteile, welche aus dem Kriege hervorgehen werden, sondern Gründe, welche zu ihm bestimmen müssen, erwähnt. Vielmehr wird gesagt: von welcher Seite man diese Lage der Dinge auch betrachtet, sie ist uns (näml. den Hellenen) günstig. Bei *ἡμῖν* ist nicht an Isokrates und die Redner, welche nach § 3 mit ihm dasselbe Thema behandelten, sondern an alle Hellenen zu denken. — 183, 2. *φέρε γάρ*, denn sagt (eigentlich: „heraus damit!" oder „vorgebracht!" oder „lafs sehen!") so bei Isokr. nur noch 15, 251 *φέρε γάρ, εἴ τινες πολλὰ χρήματα παραλαβόντες τῇ πόλει μηδὲν εἶεν χρήσιμοι, — ἔστιν ὅστις ἂν τοὺς αἰτίους τοῦ πλούτου μέμψασθαι τολμήσειεν;* — wie hier in der Anrede an Mehrere, aber sonst häufig, besonders bei Demosthenes, vergl. Franke ad 8, 34 und Weber ad Aristokrateam p. 235. — 183, 3. *μηδεμιᾶς*, nicht *οὐδεμιᾶς*, weil hier wie bei *τοὺς μὴ — διακειμένους* § **184** nicht an alle Hellenen (die ja nach § **182** extr. wirklich des Vorteils wegen den Krieg unternehmen sollen) gedacht werden soll, sondern nur an die unter ihnen, welche vielleicht die hier erwähnten Eigenschaften besitzen. — *αὐτό* i. e. *μόνον*. S. zu **7, 67**. — 183, 5. *καὶ πάντα τὸν χρ.*, und überhaupt die ganze Zeit her so gegen uns gesinnt waren. Auch hier verbindet *καί* die ganze Gattung (die feindselige Gesinnung überhaupt) mit Einzelheiten aus derselben (einzelnen Beweisen jener Gesinnung); s. zu **9, 51**.

184, 3. *μετρίως τ. τ. π. χρωμένους*, etwa: ein ziemliches

τὰς δυναστείας ἢ κατ' ἀνθρώπους περιβεβλημένοις, ἐλάττονος δ' ἀξίοις τῶν παρ' ἡμῖν δυστυχούντων; ἐπὶ τίνας δὲ στρατεύειν προσήκει τοὺς ἅμα μὲν εὐσεβεῖν βουλομένους, ἅμα δὲ τοῦ συμφέροντος ἐνθυμουμένους; οὐκ ἐπὶ τοὺς καὶ φύσει πολεμίους καὶ πατρικοὺς ἐχθρούς, καὶ πλεῖστα μὲν ἀγαθὰ κεκτη-
μένους, ἥκιστα δ' ὑπὲρ αὐτῶν ἀμύνεσθαι δυναμένους; οὐκοῦν d
185 ἐκεῖνοι πᾶσι τούτοις ἔνοχοι τυγχάνουσιν ὄντες; (ν'.) Καὶ μὴν οὐδὲ τὰς πόλεις λυπήσομεν στρατιώτας ἐξ αὐτῶν καταλέγοντες, ὃ νῦν ἐν τῷ πολέμῳ τῷ πρὸς ἀλλήλους ὀχληρότατόν ἐστιν αὐταῖς· πολὺ γὰρ οἶμαι σπανιωτέρους ἔσεσθαι τοὺς μένειν ἐθελήσοντας τῶν συνακολουθεῖν ἐπιθυμησόντων. τίς γὰρ οὕτως ἢ νέος ἢ παλαιὸς ῥάθυμός ἐστιν, ὅστις οὐ μετασχεῖν

Mafs jener Eigenschaft haben. *πράγματι* geht auf das in *ἀνάνδρως* liegende *ἀνδρεία*, wie oft *πρᾶγμα* als allgemeiner Ausdruck für einen vorher schon ausgesprochenen speciellen Begriff eintritt (Ding, Sache, *res*). Benseler, der *πρᾶγμα* auf *πλεονεξία* in § **183** beziehen wollte, bedachte nicht, dafs *πλεον.* dort „Vorteil," nicht, was für diese Stelle nötig wäre, „das Streben nach Vorteilen" bedeutet; sein Bedenken wegen *μετρίως* erledigt sich durch die Bemerkung, dafs dies hier nicht im beschränkenden, sondern im steigernden Sinne steht, wie oft das deutsche „ziemlich;" vergl. darüber Schoemann ad Plut. Kleom. p. 272 und Plut. Tit. Flamin. 6 *οὐ πάνυ μὲν ἡδομένοις, ὀκνοῦσι δὲ κωλύειν, ἐπεὶ στρατιῶταί γε μέτριοι τὸ πλῆθος εἵποντο.* Anders 6, 7 (was Koraes hier verglich) *οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς μὴ λίαν ἀνάνδρως διακειμένοις ἀλλὰ κατὰ μικρὸν ἀρετῆς ἀντιποιουμένοις.* — 184, 4. *ἢ κατ' ἀνθρώπους.* S. zu **9, 21** *μειζόνως ἂν φανείη γεγονὼς ἢ κατ' ἄνθρωπον.* — *περιβεβλημένοις.* S. zu § **36**. — 184, 5. *δυστυχούντων*, in ungünstiger Lage, nämlich in Armut, leben. Zur Sache vergl. § **174**, für die Bedeutung das oft im Sinne von „reich" vorkommende *εὐδαίμων*, und vor allem § **41**. — 184, 6. *εὐσεβεῖν* i. e. *δικαίους εἶναι*, wie es § **183** hiefs; denn Isokr. fafst hier die beiden vorher einzeln erwähnten Gattungen von Menschen zusammen. — 184, 7. *φύσει πολεμίους.* vergl. 12, 163 *τῶν πολέμων ὑπελάμβανον ἀναγκαιότατον μὲν εἶναι — τὸν μετὰ τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους τοὺς καὶ φύσει πολεμίους ὄντας καὶ πάντα τὸν χρόνον ἐπιβουλεύοντας ἡμῖν.* — 184, 9. *οὐκοῦν κ. τ. λ.* gilt denn nun nicht gerade von ihnen dies alles? *οὐκοῦν* hier wie 15, 253 und 18, 21. Dagegen 15, 313 *οὔκουν ἐπί γε τῶν προγόνων οὕτως εἶχεν, ἀλλὰ τοὺς μὲν καλουμένους σοφιστὰς ἐθαύμαζον* (vergl. 17, 32) ist *οὔκουν* = *neutiquam.* Vergl. Kühner Excurs. ad Xenoph. Mem. p. 521 und Voemel ad Demosth. Contion. p. 49 seq. — 184, 10. *ἔνοχοι.* Vergl. 2, 47 *λέγω δ' οὐ καθ' ἁπάντων ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων*, und die nämliche Wendung 8, 56, 57. 15, 131.

185, 4. *τοὺς μ. ἐθελήσοντας.* S. zu **7, 83**. — 185, 5. *οὕτως* gehört zu *ῥάθυμος*. S. zu **9, 39**. — 185, 6. *ἢ νέος ἢ παλαιός*, sei er jung oder alt. Diese Verbindung ist aus der Poesie (S. Hom. Il. 14, 108. Od. 1, 395. **2**, 293. 4, 720. Tyrtaios 12, 37 Bergk.[4] Aeschyl. Sept. 327) auch in die Prosa übergegangen; vergl.

βουλήσεται ταύτης τῆς στρατιᾶς, τῆς ὑπ' Ἀθηναίων μὲν καὶ e
Λακεδαιμονίων στρατηγουμένης, ὑπὲρ δὲ τῆς τῶν συμμάχων
ἐλευθερίας ἀθροιζομένης, ὑπὸ δὲ τῆς Ἑλλάδος ἁπάσης ἐκπεμ-
πομένης, ἐπὶ δὲ τὴν τῶν βαρβάρων τιμωρίαν πορευομένης;
186 *φήμην δὲ καὶ μνήμην καὶ δόξαν πόσην τινὰ χρὴ νομίζειν ἢ*
ζῶντας ἕξειν ἢ τελευτήσαντας καταλείψειν τοὺς ἐν τοῖς τοιού-
τοις ἔργοις ἀριστεύσαντας; ὅπου γὰρ οἱ πρὸς Ἀλέξανδρον
πολεμήσαντες καὶ μίαν πόλιν ἑλόντες τοιούτων ἐπαίνων ἠξιώ-
θησαν, ποίων τινῶν χρὴ προσδοκᾶν ἐγκωμίων τεύξεσθαι τοὺς
ὅλης τῆς Ἀσίας κρατήσαντας; τίς γὰρ ἢ τῶν ποιεῖν δυναμέ-
νων ἢ τῶν λέγειν ἐπισταμένων οὐ πονήσει καὶ φιλοσοφήσει
βουλόμενος ἅμα τῆς θ' αὑτοῦ διανοίας καὶ τῆς ἐκείνων ἀρε- b
τῆς μνημεῖον εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν;
187 (*να'.*) *Οὐ τὴν αὐτὴν δὲ τυγχάνω γνώμην ἔχων ἔν τε*

Plat. Symp. p. 182 B *οὐκ ἄν τις εἴποι οὔτε νέος οὔτε παλαιός.* [cf. Krit. Anh.] — *οὕτως* ist von seinem Worte getrennt wie Xenoph. Hell. 2, 4, 17 *μνημείου οὐδεὶς οὕτω πλούσιος ὢν καλοῦ τεύξεται.* Vergl. Krüger ad Dionys. Historiogr. p. 253. S. auch zu **9, 39.** — *ῥάθυμος*, gleichgültig gegen den Ruhm, ganz wie **9, 35** *οὐδεὶς γάρ ἐστιν οὕτω ῥάθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν μᾶλλον ἢ κτησάμενος ὥσπερ ἐκεῖνος τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν.* — 185, 7. *ταύτης τῆς.* S. zu **1, 45.** — 185, 8. *συμμάχων*, in Asien.

186, 1. *φήμην δὲ καὶ μνήμην.* Dieselbe Paronomasie oder Parechese auch **5, 134** und bei (Lys.) 2, 3 *μνήμην παρὰ τῆς φήμης λαβών*; schon bei Gorgias Helen. 2 *ἦτε τοῦ ὀνόματος φήμη [γέγονεν ἦτε] τῶν συμφορῶν μνήμη.* Über ähnliche Fälle aus Isokr. s. zu **1, 16.** Manche Paronomasien dieser Art scheinen ihrem häufigen Vorkommen nach zu urteilen, der Sprache des gewöhnlichen Lebens anzugehören, wie *μέλη καὶ μέρη* (Stallbaum ad Plat. Phileb. p. 14 E), *ὥρα καὶ χώρα* (Lobeck Paralip. p. 54 seq.), *χρήματα καὶ κτήματα, ἤθη καὶ ἔθη* (Lobeck l. l. p. 58), *res — spes* (Corte ad Cicer. Epist. 4, 5, 5) u. s. w. — 186, 3. *ὅπου*, kausal, s. zu **1, 49.** Den troischen Krieg mit dem daraus gewonnenen Ruhme gebraucht Isokr. auch sonst gern als Maſsstab für kriegerische Tüchtigkeit; vergl. zu § **83** und **5, 144. 9, 65.** — 186, 6. *ποιεῖν*, dichten, wie 10, 65 *Ὁμήρῳ προσέταξε (Ἑλένη) ποιεῖν περὶ τῶν στρατευσαμένων ἐπὶ Τροίαν* und sonst. In ähnlicher Verbindung wie hier bei (Lys.) 2, 2 *τοσαύτην ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν βουληθεῖσιν.* — 186, 7. *πονήσει καὶ φιλοσοφήσει.* S. zu **9, 78.**

Der Schluſs (§ 187—189) *enthält das Geständnis des Redners, daſs er sich in der Einleitung doch zu viel zugetraut, und die Aufforderung an jeden einzelnen, den Gegenstand zu durchdenken, an die Einfluſsreichen, für die Sache zu wirken, an die Sophisten, darin ein ihrer würdiges Thema zu erblicken.*

187, 1. *οὐ τὴν αὐτὴν δέ.* Das *δέ* in der vierten Stelle wie 3, 42 *οὐ τὴν αὐτὴν δὲ γνώμην ἔσχον*, und in der nämlichen Wendung auch 12, 260; ebenso 15, 69 *διὰ τὴν αὐτὴν δὲ ταύτην πρόφασιν* u. Xenoph. Mem. 4, 1, 3 *οὐ τὸν*

τῷ παρόντι καὶ περὶ τὰς ἀρχὰς τοῦ λόγου. τότε μὲν γὰρ ᾤμην ἀξίως δυνήσεσθαι τῶν πραγμάτων εἰπεῖν· νῦν δ' οὐκ ἐφικνοῦμαι τοῦ μεγέθους αὐτῶν, ἀλλὰ πολλά με διαπέφευγεν ὧν διενοήθην. αὐτοὺς οὖν χρὴ συνδιορᾶν, ὅσης ἂν εὐδαιμονίας τύχοιμεν, εἰ τὸν μὲν πόλεμον τὸν νῦν ὄντα περὶ ἡμᾶς πρὸς c
τοὺς ἠπειρώτας ποιησαίμεθα, τὴν δ' εὐδαιμονίαν τὴν ἐκ τῆς
188 Ἀσίας εἰς τὴν Εὐρώπην διακομίσαιμεν, καὶ μὴ μόνον ἀκροατὰς γενομένους ἀπελθεῖν, ἀλλὰ τοὺς μὲν πράττειν δυναμένους παρακαλοῦντας ἀλλήλους πειρᾶσθαι διαλλάττειν τήν τε πόλιν τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων, τοὺς δὲ τῶν λόγων ἀμφισβητοῦντας πρὸς μὲν τὴν παρακαταθήκην καὶ

αὐτὸν δὲ τρόπον, aber auch *ὅ τι ἂν τύχῃ δὲ γενησόμενον* 8, 8. Überall steht dort der dem *δέ* vorangehende Begriff im Gegensatze zu einem andern und jene Stellung des *δέ* dient dazu, ihn als einen gegensätzlichen stärker hervorzuheben. — 187, 2. *τῷ παρόντι*, ohne *καιρῷ*, was bei Isokr. das Gewöhnliche ist; s. zu **7, 78**. — 187, 4. *ἐφικνοῦμαι*, wie 10, 13 *τὰ μὲν μικρὰ ῥᾴδιον τοῖς λόγοις ὑπερβαλέσθαι, τῶν δὲ χαλεπὸν τοῦ μεγέθους ἐφικέσθαι*. S. zu **9, 49**. — *διαπέφευγεν*. S. zu **§ 111**. — 187, 5. *αὐτούς*, nämlich die Zuhörer, welche Isokr. jedoch nicht direkt anredet, wie *φλυαροῦσιν* und *ἐροῦσιν* **§ 188** lehrt. — 187, 7. *τὴν ἐκ τῆς Ἀ.* S. zu **§ 174**.

188, 2. *ἀλλά*. Es könnte auch *ἀλλὰ καί* stehen; indem aber *καί* bei dem zweiten Gliede wegfällt, erscheint dies gegen das erste von so überwiegender Bedeutsamkeit, dafs das erste dagegen ganz in Vergessenheit gerät; *καί* würde, indem es neben dem zweiten Gliede den Gedanken an das erste wieder auffrischte, dadurch dem ersten Gliede gleiche Wichtigkeit mit dem zweiten beilegen. Überall tritt beim Wegfall des *καί* nach dem ersten Gliede eine stärkere Pause ein, weshalb dann auch oft die Konstruktion geändert wird, wie **5, 153** *τοὺς μὴ μόνον κεχαρισμένως διειλεγμένους, ἀλλ' οἵτινες ἂν τοὺς ἐπιγιγνομένους οὕτω ποιήσωσι τὰς σὰς πράξεις θαυμάζειν*. Vergl. Bremi Excurs. IX zu Isokr. und Maetzner ad Lykurg. p. 260. — *πράττειν δυναμένους*, die Einflufsreichen, die etwas durchzusetzen vermögen. Vergl. **5, 13** *δεῖ ποιήσασθαί τινα προστάτην τῶν καὶ λέγειν καὶ πράττειν δυναμένων*, und Sauppe zu Plat. Protag. p. 317 A. — 188, 4. *τῶν λόγων ἀμφισβ.*, den Ruhm beanspruchen, Beredsamkeit zu besitzen, wie 6, 91 (coll. 12, 120) *τοῖς ἀρετῆς ἀμφισβητοῦσιν ὑπὲρ οὐδενὸς οὕτω σπουδαστέον κ. τ. λ.* 10, 9 (coll. **5, 82**) *ἀμφισβητεῖν τοῦ φρονεῖν*. Ep. 9, 7 *ἀμφ. περὶ ἐπιεικείας καὶ φρονήσεως*. Und so wird auch sonst oft der Name einer Eigenschaft für den mit ihr verbundenen Ruhm oder Tadel gesetzt, wie Thuk. 1, 33, 2 *δύναμις φέρουσα ἐς τοὺς πολλοὺς ἀρετήν* (i. e. *virtutis gloriam*). id. 1, 68, 1 *σωφροσύνην ἔχετε* (*moderationis laudem*). Tacit. Annal. 1, 58 *ut me perfidia exsolvam* (vom Verdacht der P.) u. s. w. — 188, 5. *τὴν παρακ.*, gegen meine Rede über das (von Nikias bei Euthynus) deponierte Geld. Schon Hieron. Wolf bemerkte, dafs Isokr. an seine XXI. Rede denke, gegen welche nach Diogenes Laert. 6, 1, 15 der Sophist Antisthenes schrieb. Der Ausdruck *ἡ παρ.* für *ὁ λόγος περὶ τῆς π.* hat nichts Befremdliches, wenn man *παρακαταθήκη*

περὶ τῶν ἄλλων ὧν νῦν φλυαροῦσιν παύεσθαι γράφοντας, d
πρὸς δὲ τοῦτον τὸν λόγον ποιεῖσθαι τὴν ἅμιλλαν καὶ σκοπεῖν,
189 *ὅπως ἄμεινον ἐμοῦ περὶ τῶν αὐτῶν πραγμάτων ἐροῦσιν, ἐν-*
θυμουμένους, ὅτι τοῖς μεγάλ' ὑπισχνουμένοις οὐ πρέπει περὶ
μικρὰ διατρίβειν, οὐδὲ τοιαῦτα λέγειν, ἐξ ὧν ὁ βίος μηδὲν
ἐπιδώσει τῶν πεισθέντων, ἀλλ' ὧν ἐπιτελεσθέντων αὐτοί τ'
ἀπαλλαγήσονται τῆς παρούσης ἀπορίας καὶ τοῖς ἄλλοις μεγά- e
λων ἀγαθῶν αἴτιοι δόξουσιν εἶναι.

als Titel der Rede faſst (wie des Isokr. III. Rede auch *Κύπριοι*, d. h. „Rede an die Kyprier" heiſst). — 188, 6. *ὧν* i. e. *περὶ ὧν*. Vergl. 12, 105 *εἰς ταραχὰς τοσαύτας κατέστησαν, ὅσας εἰκὸς τοὺς — ἐξημαρτηκότας*. 14, 48. 15, 8. S. Strange in Jahns Jahrb. Suppl. III (1835) p. 444, und über ähnliche Fälle der Auslassung einer Praeposition zu **9, 3**. — *φλυαροῦσιν*. Die Sophisten, an die hier gedacht wird, pflegten *τοὺς βομβυλιοὺς καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα ἐπαινεῖν*, nach 10, 12. — 188, 7. *λόγον*, Thema, wie § **3**. 12, 111. Ep. 9, 1.

189, 2. *μεγάλ' ὑπ*. Über die Verheiſsung der Sophisten, ihre Schüler zu gewaltigen Rednern zu bilden, s. 13, 1 und 9 seq. — 189, 3. *τοιαῦτα — ἐξ ὧν*. S. zu § 76. — 189, 4. *ἐπιδώσει*. S. zu **9, 68**. — 189, 5. *ἀπορίας*. Die Armut der Sophisten wird auch 11, 1 und 13, 7 erwähnt.

(V) ΙΣΟΚΡΑΤΟΥΣ ΦΙΛΙΠΠΟΣ (5)

Philipp von Makedonien hatte im Jahre 357 v. Chr. Amphipolis am Strymon, eine alte Pflanzstadt Athens, erobert und, obwohl er vorher Athens Anrecht auf die Stadt anerkannt und versprochen hatte sie an Athen zurückzugeben, sie doch behalten. Damit begann der Krieg zwischen Philipp und Athen, welcher von Seiten des Ersteren mit Eifer und Erfolg, wenn auch mit vielen Unterbrechungen, von Seiten der Athener sehr lau geführt und endlich im Jahre 346 durch den sogenannten Frieden des Philokrates beendigt wurde. Schon während des Krieges hatte sich Isokr. mit einer Rede („*περὶ Ἀμφιπόλεως*“ nennt er sie § 1) beschäftigt, welche Philipp und die Athener über ihr wahres Interesse aufklären sollte; sie wurde nicht vollendet, weil der Friedensschluss eintrat, ein Ereignis, welches Isokr. mit Freuden begrüsste, weil er jetzt den Zeitpunkt gekommen wähnte, wo der von ihm im Panegyrikos behandelte Gedanke endlich verwirklicht werden könnte. Er hatte sich längst überzeugt, dafs jener Gedanke, die hellenischen Staaten sollten sich versöhnen und ihre Einigung besiegeln und fruchtbar machen durch einen Feldzug gegen Persien, in der früher von ihm angestrebten Weise unausführbar sei; jetzt, wo, wie es schien, Philipp in ein freundliches Verhältnis zu Athen getreten war, glaubte Isokr. den Mann in ihm gefunden zu haben, welcher im stande wäre, jenen Gedanken zu verwirklichen, nämlich die Hellenen sich zu gewinnen, zu einigen und an ihrer Spitze für Hellas in Asien Eroberungen zu machen und für so manche Unbill Rache zu nehmen. Den Philipp für diese Aufgabe zu gewinnen ist der Zweck der vorliegenden Rede, welche bald nach jenem Friedensschluss (S. § 8 seq. und § 56) wohl mit Hülfe des für die Rede *περὶ Ἀμφιπόλεως* bereits gesammelten Materials rasch zum Abschluss gebracht wurde; denn der Krieg der Phokier mit Theben, den Philipp im Bunde mit den Thebanern im Sommer des nämlichen Jahres (346) beendete, erscheint in unserer Rede (S. § 54 seq. und § 74)

noch in vollem Gange. Damit ist der Zeitpunkt ihrer Abfassung fixiert: sie fällt in den Frühling des Jahres 346, in das 91. Lebensjahr ihres Verfassers.

Isokrates hatte den Charakter des Philipp ganz verkannt, wenn er hoffte, dieser werde in der von ihm vorgeschlagenen uneigennützigen Weise die hellenischen Staaten mit sich und unter einander versöhnen und gegen Asien führen. Philipp ging seinen eigenen Weg; er nahm den Hellenen seit der Schlacht bei Chaironeia (im Spätsommer des Jahres 338) ihre Selbständigkeit und zwang sie fortan zur Ruhe, und nun liefs er sich zum Oberfeldherrn der Hellenen gegen die Perser ernennen. Isokr. erlebte es nicht mehr, dafs wenigstens auf diesem Wege sein Gedanke der Verwirklichung nahe trat; aber so hätte er das nicht gewünscht, und der Schmerz über den Verlust der Selbständigkeit der Hellenen liefs ihn, wie erzählt wird, den Tod suchen, welchen er durch Abweisung jeder Nahrung wenige Tage nach der Schlacht bei Chaironeia fand.

Steph.

(α′.) *Μὴ θαυμάσῃς, ὦ Φίλιππε, διότι τοῦ λόγου ποιή-* 82
σομαι τὴν ἀρχὴν οὐ τοῦ πρὸς σὲ ῥηθησομένου καὶ νῦν δειχθήσεσθαι μέλλοντος, ἀλλὰ τοῦ περὶ Ἀμφιπόλεως γραφέντος.

Einleitung. § 1—29. *Nicht einem plötzlichen Einfalle des schwachen Greises verdankt diese Rede ihren Ursprung* (1), *sondern in der Ausarbeitung meiner Rede über den Amphipolitanischen Krieg, welche Dich und die Athener über Eure wahren Vorteile aufklären sollte, überrascht durch Euern Friedensschlufs* (2—7), *dachte ich weiter darüber nach, wie ich meiner Vaterstadt den Frieden auch erhalten könnte, und fand, dies sei nur so möglich, wenn ich das Thema meines Panegyrikos wieder aufnähme* (8, 9) *und — das Bedenken, welches mir die wiederholte Bearbeitung desselben Themas erregte, mit triftigen Gründen beschwichtigend* (10—13) *— Dir als der dazu geeignetsten Persönlichkeit riete, an der Spitze des versöhnten Hellas die Perser zu bekriegen* (14—16). *Dafs gerade ich Dir diesen Rat gebe, fanden meine Freunde nur kurze Zeit bedenklich* (17—23), *und wirst auch Du nicht auffällig finden, sondern Dich von mir überzeugen lassen* (24), *obwohl ich weifs, wie sehr in dieser Beziehung eine gelesene Rede hinter der von ihrem Verfasser vorgetragenen zurückbleibt und wie sehr diese meine Rede die Spuren meines Alters an sich trägt* (25—28). *Doch Du wirst mehr die Sache selbst ins Auge fassen* (29).

1, 1. *διότι* S. zu **4, 48.** — *τοῦ λόγου.* Hier sollte gleich folgen: *τοῦ περὶ Ἀ. γραφέντος,* aber Isokr. schiebt gern so die negative Behauptung zwischen die Glieder der affirmativen ein. Vergl. 18, 62 *χρὴ τούτους δημοτικοὺς νομίζειν, οὐχ ὅσοι κρατοῦντος τοῦ δήμου μετασχεῖν τῶν πραγμάτων ἐπεθύμησαν, ἀλλ᾽ οἳ — προκινδυνεύειν ὑμῶν ἠθέλησαν.* 19, 43 *δίκαιον — γενέσθαι διαδόχους τῆς κληρονομίας μὴ ταύτην, ἀλλ᾽ οἷς ἐκεῖνος*

*περὶ οὗ μικρὰ βούλομαι προειπεῖν, ἵνα δηλώσω καὶ σοὶ καὶ
τοῖς ἄλλοις, ὡς οὐ δι' ἄγνοιαν οὐδὲ διαψευσθεὶς τῆς ἀρρω-
στίας τῆς νῦν μοι παρούσης ἐπεθέμην γράφειν τὸν πρὸς σὲ* b
λόγον, ἀλλ' εἰκότως καὶ κατὰ μικρὸν ὑπαχθείς.
2 *(β'.) Ὁρῶν γὰρ τὸν πόλεμον τὸν ἐνστάντα σοὶ καὶ τῇ
πόλει περὶ Ἀμφιπόλεως πολλῶν κακῶν αἴτιον γιγνόμενον ἐπε-
χείρησα λέγειν περί τε τῆς πόλεως ταύτης καὶ τῆς χώρας
οὐδὲν τῶν αὐτῶν οὔτε τοῖς ὑπὸ τῶν σῶν ἑταίρων λεγομένοις
οὔτε τοῖς ὑπὸ τῶν ῥητόρων τῶν παρ' ἡμῖν ἀλλ' ὡς οἷόν τε*
3 *πλεῖστον ἀφεστῶτα τῆς τούτων διανοίας. οὗτοι μὲν γὰρ παρ-
ώξυνον ἐπὶ τὸν πόλεμον, συναγορεύοντες ταῖς ἐπιθυμίαις* c
*ὑμῶν· ἐγὼ δὲ περὶ μὲν τῶν ἀμφισβητουμένων οὐδὲν ἀπε-
φαινόμην, ὃν δ' ὑπελάμβανον τῶν λόγων εἰρηνικώτατον
εἶναι, περὶ τοῦτον διέτριβον, λέγων, ὡς ἀμφότεροι διαμαρ-
τάνετε τῶν πραγμάτων, καὶ σὺ μὲν πολεμεῖς ὑπὲρ τῶν ἡμῖν* 83

διέθετο. 8, 16 *χρῆσθαι ταῖς συνθήκαις μὴ ταύταις αἷς νῦν τινες γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις πρὸς βασιλέα καὶ Λακεδαιμονίους.* Caes. b. G. 8, 7, 2 *paucos in aedificiis esse inventos, atque hos, non qui agrorum colendorum causa remansissent, sed qui speculandi gratia essent remissi.* — 1, 2. *δειχθήσεσθαι*, dir vorgelegt werden, wie § 22 und 23. 12, 4, 270. 15, 57 und 67. — 1, 5. *δι' ἄγνοιαν*, aus Mangel an Einsicht, aus Unkenntnis der hier in Betracht kommenden Verhältnisse. *ἄγνοια* steht absolut wie *ἀγνοεῖν*, worüber zu 7, 39. — *διαψευσθεὶς τῆς ἀρρωστίας*, mich täuschend über meine Schwäche. S. zu § 3. — 1, 6. *ἐπεθέμην γράφειν.* Der Inf. nach *ἐπιτίθ.* wie Plat. Soph. 242 B *τὴν γὰρ δὴ χάριν ἐλέγχειν τὸν λόγον ἐπιθησόμεθα.* Alexis in Meinek. Frag. com. graec. III p. 400 (= fr. 36 Kock) *καὶ φιλοσοφεῖν ἐπέθετο* und bei Späteren vergl. Strange in Jahns Jahrb. Suppl. III (1835) p. 567 not. — 1, 7. *εἰκότως* wie Demosth. 8, 41, das dort § 42 *οὐ κακῶς ταῦτα λογιζόμενος* heißt. — *κατὰ μικρόν*, allmählich. S. zu 9, 59.

2, 2. *περὶ Ἀμφ.* s. d. Einleitung. — 2, 4. *οὐδὲν τῶν αὐτῶν* = *οὐ ταὐτά.* S. 12, 177 *οὐδὲν τῶν αὐτῶν βουλεύσασθαι — τοῖς τοιαῦτα διαπεπραγμένοις.* 12, 224 *τὸ δὲ μηδὲν τῶν αὐτῶν συμβαίνειν τοῖς ὀρθῶς πράττουσιν.* 15, 215 *ἐπὶ τοὺς οὐδὲν τῶν αὐτῶν ἐκείνοις ἐπιτηδεύοντας.*

3, 3. *ἀμφισβητουμένων*, über die eigentliche Streitfrage, wer Anrecht auf Amphipolis habe. — 3, 4. *εἰρηνικώτατον*, am ersten zum Frieden führen würde. — 3, 5. *διαμαρτάνετε τῶν πρ.*, es in der Sache verseht, wie § 23 und Ep. 9, 11 *κἀκεῖνος ἑνὸς πράγματος διήμαρτεν.* So wird oft *διαμαρτάνειν* (wie *διαψεύδεσθαι* § 1 und § 21) von dem gebraucht, der in seinem Urteil das Rechte verfehlt. — 3, 6. *τῶν ἡ. συμφερόντων* findet seine Begründung in dem letzten Teile des mit *λυσιτελεῖν γάρ* eingeleiteten Kausalsatzes, dagegen die Worte *ἡ δὲ πόλις κ. τ. λ.* in dem ersten Teile desselben; die beiden Glieder des Kausalsatzes entsprechen also den beiden Gliedern des zu erklärenden Satzes *per chiasmum.*

συμφερόντων, ἡ δὲ πόλις ὑπὲρ τῆς σῆς δυναστείας· λυσιτε-
λεῖν γάρ σοὶ μὲν ἡμᾶς ἔχειν τὴν χώραν ταύτην, τῇ δὲ πόλει
4 *μηδ' ἐξ ἑνὸς τρόπου λαβεῖν αὐτήν. καὶ περὶ τούτων οὕτως*
ἐδόκουν διεξιέναι τοῖς ἀκούουσιν ὥστε μηδένα τὸν λόγον
αὐτῶν μηδὲ τὴν λέξιν ἐπαινεῖν ὡς ἀκριβῶς καὶ καθαρῶς ἔχου-
σαν, ὅπερ εἰώθασί τινες ποιεῖν, ἀλλὰ τὴν ἀλήθειαν τῶν
πραγμάτων θαυμάζειν καὶ νομίζειν οὐδαμῶς ἂν ἄλλως παύ- b
5 *σασθαι τῆς φιλονικίας ὑμᾶς, πλὴν εἰ σὺ μὲν πεισθείης*
πλείονος ἀξίαν ἔσεσθαί σοι τὴν τῆς πόλεως φιλίαν ἢ τὰς
προσόδους τὰς ἐξ Ἀμφιπόλεως γιγνομένας, ἡ δὲ πόλις δυνη-
θείη καταμαθεῖν, ὡς χρὴ τὰς μὲν τοιαύτας φεύγειν ἀποικίας,
αἵτινες τετράκις ἢ πεντάκις ἀπολωλέκασιν τοὺς ἐμπολιτευθέν-
τας, ζητεῖν δ' ἐκείνους τοὺς τόπους, τοὺς πόρρω μὲν κειμέ-
νους τῶν ἄρχειν δυναμένων, ἐγγὺς δὲ τῶν δουλεύειν εἰθισμέ-
νων, εἰς οἷόν περ Λακεδαιμόνιοι Κυρηναίους ἀπῴκισαν· c
6 *πρὸς δὲ τούτοις, εἰ σὺ μὲν γνοίης, ὅτι λόγῳ παραδοὺς τὴν*
χώραν ἡμῖν ταύτην αὐτὸς ἔργῳ κρατήσεις αὐτῆς, καὶ προσέτι
τὴν εὔνοιαν τὴν ἡμετέραν κτήσει (τοσούτους γὰρ ὁμήρους

— 3, 7. *δυναστείας.* Denn wenn Amphipolis uns gehört, sind wir im Hinblick auf Dich, ihren mächtigen Nachbar, gezwungen, Dir anderwärts, wo Du Deine Macht erweitern willst, nicht entgegen zu treten; vergl. § **6** extr. — 3, 9. *μηδ' ἐξ ἑνὸς τρόπου.* Vergl. *ἐκ παντὸς τρόπου*, worüber zu **9, 39.**

4, 2. *ἀκούουσιν*, Schülern und Freunden, denen er sie vorlas. Vergl. § **17** und **23.** — 4, 3. *αὐτῶν* gehört zu *μηδένα*, das von ihm des Hiatus wegen getrennt ist wie oft *τὶς* von seinem Genet. partitiv. S. zu **7, 54.** Vergl. auch § **89** und § **22** *αὐτοῖς — τῶν ἐν τῇ πόλει.* — 4, 6. *φιλονικίας.* S. Krit. Anh. zu **4, 19.**

5, 3. *προσόδους*, deren Wichtigkeit für Athen Thuk. 4, 108 bezeugt; vergl. auch Weber ad Demosth. Aristokrat. p. 355. — 5, 5. *ἀπολωλέκασιν*, den Untergang bereitet haben. Genauer bekannt sind zwei Fälle. Im J. 475 zogen attische Kolonisten unter Lysistratos, Lykurgos und Kratinos nach Amphipolis (damals noch *Ἐννέα ὁδοί* genannt) um es zu erobern, wurden aber von den Thrakern geschlagen und gröſstenteils vernichtet; im J. 465 bemächtigten sich 10,000 Kolonisten der Stadt, sind aber, als sie weiter vordrangen, zwischen Daton und Drabeskos den Thrakern erlegen; s. Weiſsenborn, Hellen., S. 141 folgd. Doch mögen von den neun unglücklichen Unternehmungen der Athener gegen Amphipolis, welche der Scholiast zu Aeschin. 2, 31 (p. 29 ed. Tur.) kennt, auſser jenen beiden noch zwei oder drei hierher gehören, wenn, wie es wahrscheinlich ist, mit den attischen Heeren auch attische Kolonisten dorthin zogen. — 5, 8. *Κυρηναίους ἀπ.*, die Kolonie Kyrene gründeten. S. Herod. 4, 147 seqq. und Gilbert Staatsaltert. II, p. 229.

6, 1. *πρὸς δὲ τούτοις*, scil. *παύσει τῆς φιλονικίας ὑμᾶς.* —

λήψει παρ' ἡμῶν τῆς φιλίας, ὅσους περ ἂν ἐποίκους εἰς τὴν σὴν δυναστείαν ἀποστείλωμεν), τὸ δὲ πλῆθος ἡμῶν εἴ τις διδάξειεν, ὡς ἂν λάβωμεν Ἀμφίπολιν, ἀναγκασθησόμεθα τὴν d
αὐτὴν εὔνοιαν ἔχειν τοῖς σοῖς πράγμασιν διὰ τοὺς ἐνταῦθα κατοικοῦντας, οἵαν περ εἴχομεν Ἀμαδόκῳ τῷ παλαιῷ διὰ τοὺς
7 ἐν Χερρονήσῳ γεωργοῦντας. Τοιούτων δὲ πολλῶν λεγομένων ἤλπισαν ὅσοι περ ἤκουσαν, διαδοθέντος τοῦ λόγου διαλύσεσθαι τὸν πόλεμον ὑμᾶς καὶ γνωσιμαχήσαντας βουλεύσεσθαί τι κοινὸν ἀγαθὸν περὶ ὑμῶν αὐτῶν. εἰ μὲν οὖν ἀφρόνως e
ἢ νοῦν ἐχόντως ταῦτ' ἐδόξαζον, δικαίως ἂν ἐκεῖνοι τὴν αἰτίαν ἔχοιεν· ὄντος δ' οὖν ἐμοῦ περὶ τὴν πραγματείαν ταύτην ἔφθητε ποιησάμενοι τὴν εἰρήνην πρὶν ἐξεργασθῆναι τὸν λόγον, σωφρονοῦντες· ὅπως γὰρ οὖν πεπρᾶχθαι κρεῖττον ἦν 84

6, 4. ἐποίκους, Kolonisten, mit Rücksicht auf das neue Vaterland gesagt (Einwanderer), während das synonyme ἄποικοι mit Rücksicht auf das alte Vaterland gebraucht wird (Auswanderer); vgl. Krüger ad Dionys. Historiograph. p. 101. Jenes ist hier das Wesentlichere, umgekehrt oben bei ἀποικίαι. — 6, 8. Ἀμαδόκῳ i. e. τοῖς Ἀμαδόκου πράγμασιν. Vergl. zu 9, 34. παλαιῷ, zum Unterschiede von seinem gleichnamigen Sohne (über den Weber Proleg. in Demosth. Aristokrat. p. 70 seqq.). Der ältere Amadokos, auch Μήδοκος genannt (s. Wesseling ad Diodor. 13, 105) mit einer auch sonst vorkommenden Aphaeresis des α (s. Lobeck. Element. Pathol. I p. 25 seq.), Fürst der thrakischen Odrysen, ward i. J. 390 von den Athenern mit seinem Gegner Seuthes ausgesöhnt, wie Xenoph. Hellen. 4, 8, 26 sagt, damit die hellenischen Städte in Thrakien Athen treu blieben. Isokr. hat wohl das nämliche Faktum im Auge, wenn er auch zu meinen scheint, die Freundschaft der Athener für Amadokos habe ihren Grund darin gehabt, ihn von der Besitzergreifung athenischer Kolonien in der thrakischen Chersones abzuhalten. — 6, 9. γεωργοῦντας, die attischen Kolonisten, deren schon zu Peisistratos Zeit Miltiades, der Sohn des Kypselos, dahingeführt hatte (Herod. 6, 34 seqq.); γεωργοῦντες statt ἔποικοι heifsen sie hier wohl deshalb, weil Athen von dort wie überhaupt aus den Gegenden am Hellespont viel Getreide bezog; s. Böckh, Staatsh.[3] I S. 99.

7, 2. διαδοθέντος, verschieden von ἐκδοθείς § 11. S. zu 9, 74. — 7, 5. νοῦν ἐχόντως. S. zu 7, 53. — τὴν αἰτίαν ἔχοιεν, haben sie zu verantworten; s. zu 7, 58 und Maetzner ad Lykurg. p. 175. Frohberger zu Lys. 13, 62. — 7, 8. σωφρονοῦντες, und ihr zeigtet damit gesunden Verstand. Im Griechischen ist, wo wie hier ein kurzes Urteil über eine Handlungsweise oder eine Ansicht gegeben werden soll, das Particip statt eines ganzen Satzes häufig. Vergl. 9, 54 προσήκοντα ποιοῦντες, und besonders das Häufige ὀρθῶς γε (καλῶς γε) λέγων oder ποιῶν, worüber Stallbaum ad Plat. Symp. p. 174 E. Madvig Synt. § 176 c. — ὅπως γὰρ οὖν, scil. ἐπράχθη. Vergl. 2, 5 πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται λυσιτελεῖν μᾶλλον ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς Ἀσίας βασιλεύειν, und οὐδ' ὁπωσοῦν (*nulla ex parte*) 12, 2, wofür die Attiker lieber οὐδ' ὁπωστιοῦν sagten. S. Stallbaum ad Plat. Apolog. p. 17 B.

αὐτὴν ἢ συνέχεσθαι τοῖς κακοῖς τοῖς διὰ τὸν πόλεμον γιγνο-
8 *μένοις.* (δ'.) *Συνησθεὶς δὲ τοῖς περὶ τῆς εἰρήνης ψηφισθεῖσιν*
καὶ νομίσας οὐ μόνον ἡμῖν ἀλλὰ καὶ σοὶ καὶ τοῖς ἄλλοις
Ἕλλησιν ἅπασι συνοίσειν, ἀποστῆσαι μὲν τὴν ἐμαυτοῦ διά-
νοιαν τῶν ἐχομένων οὐχ οἷός τ' ἦν, ἀλλ' οὕτω διεκείμην
ὥστ' εὐθὺς σκοπεῖσθαι, πῶς ἂν τὰ πεπραγμένα παραμείνειεν
ἡμῖν καὶ μὴ χρόνον ὀλίγον ἡ πόλις ἡμῶν διαλιποῦσα πάλιν b
9 *ἑτέρων πολέμων ἐπιθυμήσειεν· διεξιὼν δὲ περὶ τούτων πρὸς*
ἐμαυτὸν εὕρισκον οὐδαμῶς ἂν ἄλλως αὐτὴν ἡσυχίαν ἄγουσαν,
πλὴν εἰ δόξειεν ταῖς πόλεσιν ταῖς μεγίσταις διαλυσαμέναις τὰ
πρὸς σφᾶς αὐτὰς εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν, καὶ
τὰς πλεονεξίας, ἃς νῦν παρὰ τῶν Ἑλλήνων ἀξιοῦσιν αὑταῖς
γίγνεσθαι, ταύτας εἰ παρὰ τῶν βαρβάρων ποιήσασθαι βουλη-
θεῖεν· ἅπερ ἐν τῷ πανηγυρικῷ λόγῳ τυγχάνω συμβεβουλευκώς. c
10 (ε'.) *Ταῦτα δὲ διανοηθεὶς καὶ νομίσας οὐδέποτ' ἂν εὑ-*
ρεθῆναι καλλίω ταύτης ὑπόθεσιν οὐδὲ κοινοτέραν οὐδὲ μᾶλ-
λον ἅπασιν ἡμῖν συμφέρουσαν, ἐπήρθην πάλιν γράψαι περὶ
αὐτῆς, οὐκ ἀγνοῶν οὐδὲν τῶν περὶ ἐμαυτόν, ἀλλ' εἰδὼς τὸν
λόγον τοῦτον οὐ τῆς ἡλικίας τῆς ἐμῆς δεόμενον, ἀλλ' ἀνδρὸς
ἀνθοῦσαν τὴν ἀκμὴν ἔχοντος καὶ τὴν φύσιν πολὺ τῶν ἄλλων

Demosth. 19, 150 (vergl. 19, 336) nennt den Frieden *αἰσχρὰ καὶ ἀναξία τῆς πόλεως*, weil die Athener Amphipolis dem Philipp lassen mufsten und weil die Phokier und Halier, Bundesgenossen der Athener, von dem Frieden ausdrücklich ausgeschlossen wurden; vergl. Schäfer, Demosthenes und seine Zeit, II S. 210 seqq.

8, 3. *ἀποστῆσαι τὴν διάνοιαν.* Das Gegenteil *ἐπιστήσω τὴν διάνοιαν* **9, 69** (S. zu d. St.) — 8, 4. *τῶν ἐχομένων*, von dem, was nun infolge dessen geschehen würde. S. zu **9, 33.** — *οὕτω διεκείμην*, fühlte mich gedrungen.

9, 1. *διεξιὼν — περὶ τούτων.* Vergl. 8, 119 (coll. 8, 128) *ἢν γὰρ ταῦτα καὶ τὰ τοιαῦτα διεξίητε πρὸς ὑμᾶς αὐτούς.* Denn wie bei *διελθεῖν* (s. zu **9, 2**), so wird auch bei *διεξιέναι* das Objekt bald durch den blofsen Akkusativ gegeben wie 6, 42. **7, 56. 12,** 63 u. s. w., bald, wenn auch seltener, durch *περί*, § **4.** 8, 71. 12, 55, 259. Ep. 6, 4. Vergl. zu **9, 12.** Zu *πρὸς ἐμαυτόν* vergl. noch § **149** und **11, 47** (coll. 20, 9) *δίελθε πρὸς αὑτόν.* 6, 52 (coll. 16, 16) *ἀναμνήσθητε πρὸς ὑμᾶς αὐτούς.* 15, 60 *ἐνθυμήθητε πρὸς ὑμᾶς αὐτούς.* — 9, 3. *τὰ πρὸς σφᾶς αὐτάς*, ihre Streitigkeiten unter einander, wie § **50** und **4, 131.** — 9, 5. *τὰς πλεονεξίας κ. τ. λ.* vergl. **4, 17.**

10, 2. *κοινοτέραν*, von allgemeinerem Interesse, wie 15, 258 *λόγοι κοινοὶ καὶ χρήσιμοι.* — 10, 4. *εἰδώς*, ohne *μέν.* [cf. Krit. Anh.] S. zu **4, 105.** — 10, 6. *ἀνθοῦσαν τὴν ἀκμήν*, in der Blüte der Kraft steht, ein fast poetischer Ausdruck, denn *ἀκμή* steht hier nicht wie **7, 37. 9, 73.** 15, 289. Ep. 6, 4 von dem blühendsten Alter (in welchem Falle *ἀνθοῦσαν* nicht daneben treten könnte), sondern etwa wie

11 *διαφέροντος, ὁρῶν δ' ὅτι χαλεπόν ἐστιν περὶ τὴν αὐτὴν ὑπό-* d
θεσιν δύο λόγους ἀνεκτῶς εἰπεῖν, ἄλλως τε κἂν ὁ πρότερον
ἐκδοθεὶς οὕτως ᾖ γεγραμμένος, ὥστε καὶ τοὺς βασκαίνοντας
ἡμᾶς μιμεῖσθαι καὶ θαυμάζειν αὐτὸν μᾶλλον τῶν καθ' ὑπερ-
12 *βολὴν ἐπαινούντων. ἀλλ' ὅμως ἁπάσας ἐγὼ ταύτας τὰς δυσχερείας*
ὑπεριδὼν οὕτως ἐπὶ γήρως γέγονα φιλότιμος, ὥστ' ἠβουλή-
θην ἅμα τοῖς πρὸς σὲ λεγομένοις καὶ τοῖς μετ' ἐμοῦ διατρί- e
ψασιν ὑποδεῖξαι καὶ ποιῆσαι φανερόν, ὅτι τὸ μὲν ταῖς πανη-
γύρεσιν ἐνοχλεῖν καὶ πρὸς ἅπαντας λέγειν τοὺς συντρέχοντας
ἐν αὐταῖς πρὸς οὐδένα λέγειν ἐστίν, ἀλλ' ὁμοίως οἱ τοιοῦτοι
τῶν λόγων ἄκυροι τυγχάνουσιν ὄντες τοῖς νόμοις καὶ ταῖς
13 *πολιτείαις ταῖς ὑπὸ τῶν σοφιστῶν γεγραμμέναις, δεῖ δὲ τοὺς*
βουλομένους μὴ μάτην φλυαρεῖν ἀλλὰ προὔργου τι ποιεῖν, καὶ
τοὺς οἰομένους ἀγαθόν τι κοινὸν εὑρηκέναι τοὺς μὲν ἄλλους
ἐᾶν πανηγυρίζειν, αὐτοὺς δ' ὧν εἰσηγοῦνται ποιήσασθαί τινα
προστάτην τῶν καὶ λέγειν καὶ πράττειν δυναμένων καὶ δόξαν
μεγάλην ἐχόντων, εἴπερ μέλλουσί τινες προσέξειν αὐτῷ τὸν
14 *νοῦν.* (ς'.) *Ἅπερ ἐγὼ γνοὺς διαλεχθῆναι σοὶ προειλόμην,*
οὐ πρὸς χάριν ἐκλεξάμενος· καίτοι πρὸ πολλοῦ ποιησαίμην

χερὸς ἀκμή bei Pindar. Ol. 2, 63, *ποδὸς ἀκμή* bei Aeschyl. Eum. 370 und Sophokl. Oed. tyr. 1034.

11, 2. *ἄλλως τε κἄν.* S. zu **4, 66.** — 11, 4. *ἡμᾶς* könnte von den Schülern des Isokr. mitverstanden werden, so daſs der Übergang zu *ἐγώ* § **12** nichts Befremdliches hätte; doch s. zu **4, 14.**

12, 3. *ἅμα τοῖς πρὸς σὲ λεγ.*, dadurch, daſs ich diese Rede an Dich richtete, zugleich auch u. s. w. — 12, 6. *ἐστίν*, so viel ist als, wie Plato Kratyl. p. 398 D *τὸ γὰρ εἴρειν λέγειν ἐστίν*, und sonst oft. — 12, 8. *ὑπὸ τῶν σοφιστῶν.* Isokr. scheint hier einen Seitenhieb auf Plato und dessen Bücher über den Staat und die Gesetze zu führen, worauf es schon Speusippos (Epist. Socrat. 30, 2 *οὔτε Πλάτωνος ἐν τοῖς πρὸς σὲ πεμφθεῖσι ἀπέσχεται*) bezog. Vergl. Blass Att. Beredsamk. II, p. 37. III, p. 315. Bergk Litteraturgesch. I, p. 222. Man könnte aber auch an Antisthenes denken, der nach Diogenes Laert. 6, 1, 16 *περὶ νόμου ἢ περὶ πολιτείας* schrieb und den Isokr. angegriffen hatte (s. zu **4, 188**). Indessen war die Litteratur *περὶ νόμων* und *περὶ πολιτείας* im Altertume groſs; vergl. Boeckh in Plat. Mino. p. 78 seq.

13, 5. *προστάτην*, einen Vertreter, wie den Metoeken ein *προστάτης* vor Gericht vertrat. Mit ähnlicher Übertragung steht *ἐπιστάτης* **4, 121. 5, 45, 50.** Wie hier, so § **16** *προστῆναι τῆς τῶν Ἑλλήνων ὁμονοίας*, und 8, 141 *προστῆναι τῆς τ. Ἑ. ἐλευθερίας.*

14, 2. *ἐκλεξάμενος* näml. *σέ*. [cf. Krit. Anh.] — *πρὸ πολλοῦ.* Der gewöhnlichere Ausdruck ist *περὶ πολλοῦ ποιεῖσθαι* (*ἡγεῖσθαι*), wie 2, 53. 19, 46, 48 steht; vergl. auch *περὶ πλείονος* 2, 32. 8, 135, *περὶ πλείστου* 2, 22. 17, 57, *περὶ ὀλίγου* 17, 58, *περὶ ἐλάττονος* 18, 63 *περὶ παντός* 2, 15. **4, 174,** *περὶ μηδενός* 18, 63. Doch steht *πρὸ πολλοῦ ποιεῖσθαι* auch § **138** und 12, 126. **15,** 15, 176. Ep. 2, 12. 7, 13.

ἄν σοι κεχαρισμένως εἰπεῖν, ἀλλ' οὐκ ἐπὶ τούτῳ τὴν διά- b
νοιαν ἔσχον, ἀλλὰ τοὺς μὲν ἄλλους ἑώρων τοὺς ἐνδόξους τῶν
ἀνδρῶν ὑπὸ πόλεσι καὶ νόμοις οἰκοῦντας, καὶ οὐδὲν ἐξὸν
αὐτοῖς ἄλλο πράττειν πλὴν τὸ προσταττόμενον, ἔτι δὲ πολὺ
15 *καταδεεστέρους ὄντας [τῶν πραγμάτων] τῶν ῥηθησομένων, σοὶ*
δὲ μόνῳ πολλὴν ἐξουσίαν ὑπὸ τῆς τύχης δεδομένην καὶ
πρέσβεις πέμπειν πρὸς οὕστινας ἂν βουληθῇς, καὶ δέχεσθαι
παρ' ὧν ἄν σοι δοκῇ, καὶ λέγειν ὅ τι ἂν ἡγῇ συμφέρειν, πρὸς c
δὲ τούτοις καὶ πλοῦτον καὶ δύναμιν κεκτημένον, ὅσην οὐδεὶς
τῶν Ἑλλήνων, ἃ μόνα τῶν ὄντων καὶ πείθειν καὶ βιάζεσθαι
16 *πέφυκεν· ὧν οἶμαι καὶ τὰ ῥηθησόμενα προσδεήσεσθαι. μέλ-*
λω γάρ σοι συμβουλεύειν προστῆναι τῆς τε τῶν Ἑλλήνων
ὁμονοίας καὶ τῆς ἐπὶ τοὺς βαρβάρους στρατείας· ἔστι δὲ τὸ
μὲν πείθειν πρὸς τοὺς Ἕλληνας συμφέρον, τὸ δὲ βιάζεσθαι
πρὸς τοὺς βαρβάρους χρήσιμον. ἡ μὲν οὖν περιβολὴ παντὸς d
τοῦ λόγου τοιαύτη τίς ἐστιν.
17 (ζ.) *Οὐκ ὀκνήσω δὲ πρὸς σὲ κατειπεῖν, ἐφ' οἷς ἐλύπησάν*
τινές με τῶν πλησιασάντων· οἶμαι γὰρ ἔσεσθαί τι προὔργου.
δηλώσαντος γάρ μου πρὸς αὐτούς, ὅτι μέλλω σοι λόγον πέμ-
πειν οὐκ ἐπίδειξιν ποιησόμενον οὐδ' ἐγκωμιασόμενον τοὺς
πολέμους τοὺς διὰ σοῦ γεγενημένους (ἕτεροι γὰρ τοῦτο ποιή-
σουσιν), ἀλλὰ πειρασόμενόν σε προτρέπειν ἐπὶ πράξεις οἰ- e
κειοτέρας καὶ καλλίους καὶ μᾶλλον συμφερούσας ὧν νῦν τυγ-
18 *χάνεις προῃρημένος, οὕτως ἐξεπλάγησαν, μὴ διὰ τὸ γῆρας*
ἐξεστηκὼς ὦ τοῦ φρονεῖν, ὥστ' ἐτόλμησαν ἐπιπλῆξαί μοι

— 14, 5. *ὑπὸ πόλεσι*, in Abhängigkeit von ihren Staaten; in demselben Sinne heifst es § **127** *τοῖς ἐν πολιτείᾳ καὶ νόμοις ἐνδεδεμένοις*. — *οἰκοῦντας* — *ἐξόν*. S. zu **4, 48**. — *καὶ οὐδέν* S. zu **4, 97**. — 14, 6. *πολὺ καταδ.*, weit weniger gewachsen sind, wie 12, 137 *μὴ πολὺ καταδεέστερον εἴπω τῶν πραγμάτων*, und sonst. — 14, 7. [*τῶν πραγμάτων*] cf. Krit. Anh.

16, 5. *περιβολή*, der kurz zusammengefafste Inhalt, die eigentliche Tendenz. Vergl. 12, 244 *τὴν μὲν οὖν περιβολὴν τοῦ λόγου δοκεῖς μοι ποιήσασθαι μετὰ τοιαύτης διανοίας*.

17, 2. *τι προὔργου*, S. zu **4, 19**. Zur Sache vergl. § **24**. — 17, 3. *δηλώσαντος* — *πρὸς αὐτούς*. Die gleiche Konstruktion auch 3, 6. 15, 254 und 270. — 17, 6. *οἰκειοτέρας*, die Du mehr für Dich allein hast, während unzählig viel andere auch Kriege geführt haben, wie Du sie bisher führtest. Ähnlich 12, 73 *οὐδένα γὰρ εὑρήσομεν ἰδιωτέρας πράξεις μεταχειρισάμενον*.

18, 2. *ἐξεστηκὼς ὦ τοῦ φρονεῖν*, von Sinnen gekommen sei. Ebenso Plut. Alex. 42 *κακῶς ἀκούων ἐξίστατο τοῦ φρονεῖν* und id. Mar. 12, und aktivisch Xenoph. Mem. 1, 3, 12 *τὰ φαλάγγια τοὺς*

πρότερον οὐκ εἰωθότες τοῦτο ποιεῖν, λέγοντες, ὡς ἀτόποις 86
καὶ λίαν ἀνοήτοις ἐπιχειρῶ πράγμασιν, „ὅστις Φιλίππῳ
συμβουλεύσοντα λόγον μέλλεις πέμπειν, ὅς, εἰ καὶ πρότερον
ἐνόμιζεν αὑτὸν εἶναί τινος πρὸς τὸ φρονεῖν καταδεέστερον,
νῦν διὰ τὸ μέγεθος τῶν συμβεβηκότων οὐκ ἔστιν ὅπως οὐκ
19 οἴεται βέλτιον δύνασθαι βουλεύεσθαι τῶν ἄλλων. ἔπειτα καὶ
Μακεδόνων ἔχει περὶ αὑτὸν τοὺς σπουδαιοτάτους, οὓς εἰκός,
εἰ καὶ περὶ τῶν ἄλλων ἀπείρως ἔχουσιν, τό γε συμφέρον ἐκεί- b
νῳ μᾶλλον ἢ σὲ γιγνώσκειν. ἔτι δὲ καὶ τῶν Ἑλλήνων πολ-
λοὺς ἂν ἴδοις ἐκεῖ κατοικοῦντας, οὐκ ἀδόξους ἄνδρας οὐδ'
ἀνοήτους, ἀλλ' οἷς ἐκεῖνος ἀνακοινούμενος οὐκ ἐλάττω τὴν
20 βασιλείαν πεποίηκεν ἀλλ' εὐχῆς ἄξια διαπέπρακται. τί γὰρ
ἐλλέλοιπεν; οὐ Θετταλοὺς μὲν τοὺς πρότερον ἐπάρχοντας
Μακεδονίας οὕτως οἰκείως πρὸς αὑτὸν διακεῖσθαι πεποίηκεν,
ὥσθ' ἑκάστους αὐτῶν μᾶλλον ἐκείνῳ πιστεύειν ἢ τοῖς
συμπολιτευομένοις; τῶν δὲ πόλεων τῶν περὶ τὸν τόπον c
ἐκεῖνον τὰς μὲν ταῖς εὐεργεσίαις πρὸς τὴν αὑτοῦ συμ-
μαχίαν προσῆκται, τὰς δὲ σφόδρα λυπούσας αὐτὸν ἀναστά-

ἀνθρώπους τοῦ φρονεῖν ἐξίστησιν. Vergl. auch 12, 32 ἐξιστάμενοι ἑαυτῶν und 12, 196 ἐξέστησαν αὑτῶν. — 18, 4. ἐπιχειρῶ — μέλλεις. [cf. Krit. Anh.] Der Übergang von der indirekten Rede zur direkten ist im Griechischen sehr gewöhnlich; vergl. 12, 203 seq. So plötzlich wie hier, d. h. in einem Relativsatze, geschieht der Übergang auch bei Xenoph. Anab. 1, 3, 14 (εἶπε) πέμψαι προκαταληψομένους τὰ ἄκρα, ὅπως μὴ φθάσωσιν οἱ Κίλικες, ὧν πολλοὺς ἔχομεν ἡρπακότες. — ὅστις. S. zu 7, 9.

19, 7. εὐχῆς ἄξια. S. zu 4, 182.

20, 1. τί γὰρ ἐλλέλοιπεν; was fehlt ihm noch? vergl. 12, 76 vom Herakles: τί γὰρ ἐκεῖνος ἐνέλιπεν, ὃς τηλικαύτην ἔσχε τιμὴν κ. τ. λ. — 20, 2. ἐπάρχοντας Μ. geht wohl auf das von Demosth. 23, 111 und vom Scholiasten zu Aeschin. 2, 26 (p. 28 ed. Tur.) erwähnte, sonst nicht weiter bekannte Faktum: Θετταλοὶ τὸν πατέρα αὐτοῦ (Φιλίππου) ποτ' ἐξέβαλον. — 20, 5. συμπολιτευομένοις. Die thessalischen Aleuaden riefen Philipp gegen Lykophron, den Tyrannen des thessalischen Pherae, zu Hülfe. Vergl. Diod. 16, 35 und Schäfer Demosthenes u. s. Zeit. I, S. 458. — 20, 6. τὰς μέν, z. B. Pherae, dem er die Freiheit wiedergab. Diodor. 16, 38. — 20, 7. τὰς δέ. Über thessalische Städte, welche bis zur Zeit unserer Rede von Philipp zerstört wurden, ist nichts bekannt, doch ist die Sache nicht unwahrscheinlich, da Philipp, bei seinem ersten Feldzuge (353 v. Chr.) gegen Thessalien zweimal geschlagen, in dem zweiten (352 v. Chr.) siegreichen bei seiner Rachgier nicht unterlassen haben wird, den früheren Widerstand einzelner Städte hart zu bestrafen. Mit Unrecht denkt Benseler an Methone und Olynth (er hätte ebenso gut auch an Potidaia und die 32 Städte des chalkidischen Bundes denken können), da diese Städte nicht

21 τους πεποίηκεν; Μάγνητας δὲ καὶ Περραιβοὺς καὶ Παίονας
κατέστραπται καὶ πάντας ὑπηκόους αὑτοῖς εἴληφεν; τοῦ δ'
Ἰλλυριῶν πλήθους πλὴν τῶν παρὰ τὸν Ἀδρίαν οἰκούντων
ἐγκρατὴς καὶ κύριος γέγονεν; ἁπάσης δὲ τῆς Θρᾴκης οὓς
ἠβουλήθη δεσπότας κατέστησεν; τὸν δὴ τοσαῦτα καὶ τηλι- d
καῦτα διαπεπραγμένον οὐκ οἴει πολλὴν μωρίαν καταγνώσε-
σθαι τοῦ πέμψαντος τὸ βιβλίον καὶ πολὺ διεψεῦσθαι νομιεῖν
22 τῆς τε τῶν λόγων δυνάμεως καὶ τῆς αὐτοῦ διανοίας;" Ταῦτ'
ἀκούσας ὡς μὲν τὸ πρῶτον ἐξεπλάγην, καὶ πάλιν ὡς ἀναλα-
βὼν ἐμαυτὸν ἀντεῖπον πρὸς ἕκαστον τῶν ῥηθέντων, παραλείψω,
μὴ καὶ δόξω τισὶν λίαν ἀγαπᾶν, εἰ χαριέντως αὐτοὺς ἠμυνά-
μην· λυπήσας δ' οὖν μετρίως, ὡς ἐμαυτὸν ἔπειθον, τοὺς e
ἐπιπλῆξαί μοι τολμήσαντας, τελευτῶν ὑπεσχόμην μόνοις
αὐτοῖς τὸν λόγον τῶν ἐν τῇ πόλει δείξειν καὶ ποιήσειν οὐδὲν
23 ἄλλο περὶ αὐτοῦ, πλὴν ὅ τι ἂν ἐκείνοις δόξῃ. τούτων ἀκού- 87

περὶ τὸν τόπον ἐκεῖνον, d. h. in Thessalien, lagen und es dem Patriotismus des Isokr. wenig angestanden haben würde anzudeuten, jene Städte seien mit Recht bestraft worden, weil nämlich die Athener sich bei ihrem Widerstande gegen Philipp beteiligten.

21, 1. *Μάγνητας*. Ihr Land, die Halbinsel Magnesia an der Ostküste von Thessalien, ward in jenem zweiten thessalischen Kriege von Philipp in Besitz genommen und nicht wieder herausgegeben (s. Schäfer l. l. I S. 461); die Zeit der Unterwerfung der Perrhäber im Nordwesten von Thessalien steht nicht fest, die Paeoner und Illyrier aber wurden 358 und 355 von Philipp besiegt (s. Schäfer II S. 19 und 26). — 21, 2. *αὑτοῖς* (als seine und seines Volkes Unterthanen) [cf. Krit. Anh.] ist nach dem von Krüger Synt. § 58, 4, 3 mit Beispielen wie Xenoph. Kyrop. 5, 2, 22 (*Κῦρος ἐπεσκοπεῖτο εἴ τι δυνατὸν εἴη τοὺς πολεμίους ἀσθενεστέρους ποιεῖν ἢ αὑτοὺς ἰσχυροτέρους*), Hellen. 4, 6, 4 (*Ἀγησίλαος εἶπεν, ὡς, εἰ μὴ ἑαυτοὺς αἱρήσονται, δῃώσοι πᾶσαν τὴν γῆν αὐτῶν*), Thuk. 6, 101, 5 *Λάμαχος παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν*) erwiesenen Sprachgebrauch zu beurteilen. vergl. auch Xenoph. Anab. 4, 5, 28 *ὅταν ἄρξωνται αὐτοὶ* (sie selbst und ihre Truppen) *διαβαίνειν*. Lys. 12, 58 *Φείδων τοὺς κρείττους αὑτῶν* (als er und seine Partei) *κακῶς ποιεῖν ἕτοιμος ἦν*. Auch ohne das Reflexivum: Plut. Timol. 9 *Καρχηδονίους φροντίζειν ἐκέλευεν ὅπως οὐκ ἐπιβήσοιτο Τιμολέων Σικελίας ἀλλ' ἀπωσθέντων ἐκείνων* (Timoleon mit den Korinthern) *αὐτοὶ διανεμοῦνται τὴν νῆσον*. — 21, 4. *Θρᾴκης*. Von den drei Zügen Philipps gegen Thrakien ist hier wohl der zweite (352 v. Chr.) zu verstehen, von dem auch Demosth. 1, 13 sagt *ᾤχετ' εἰς Θρᾴκην· εἶτ' ἐκεῖ τοὺς μὲν ἐκβαλών, τοὺς δὲ καταστήσας τῶν βασιλέων ἠσθένησε*. — 21, 5. *τοσαῦτα* cf. Krit. Anh. — 21, 8. *αὑτοῦ*, nicht *αὐτοῦ* [cf. Krit. Anh.] verlangt die Stellung. S. zu **7, 55.**

22, 3. *παραλείψω* S. zu **4, 54.** — 22, 4. *ἀγαπᾶν, εἰ* s. zu **9, 81.** — 22, 5. *λυπήσας — μετρίως*, sie einigermafsen beschämt hatte. — *ἐμαυτὸν ἔπειθον*, mir einbildete, wie Ep. 3, 1 und öfter bei Rednern und anderen; vergl. Krüger ad Thuk. 6, 33, 1.

σαντες ἀπῆλθον, οὐκ οἶδ' ὅπως τὴν διάνοιαν ἔχοντες. πλὴν
οὐ πολλαῖς ἡμέραις ὕστερον ἐπιτελεσθέντος τοῦ λόγου καὶ
δειχθέντος αὐτοῖς τοσοῦτον μετέπεσον, ὥστ' ᾐσχύνοντο μὲν
ἐφ' οἷς ἐθρασύναντο, μετέμελεν δ' αὐτοῖς ἁπάντων τῶν εἰρη-
μένων, ὡμολόγουν δὲ μηδενὸς πώποτε τοσοῦτον πράγματος
διαμαρτεῖν, ἔσπευδον δὲ μᾶλλον ἠγὼ πεμφθῆναί σοι τὸν λό-
γον τοῦτον, ἔλεγον δ' ὡς ἐλπίζουσιν οὐ μόνον σὲ καὶ τὴν
πόλιν ἕξειν μοι χάριν ὑπὲρ τῶν εἰρημένων ἀλλὰ καὶ τοὺς b
Ἕλληνας ἅπαντας.

24 (θ'.) Τούτου δ' ἕνεκά σοι ταῦτα διῆλθον, ἵν' ἄν τί
σοι φανῇ τῶν ἐν ἀρχῇ λεγομένων ἢ μὴ πιστὸν ἢ μὴ δυνα-
τὸν ἢ μὴ πρέπον σοι πράττειν, μὴ δυσχεράνας ἀποστῇς τῶν
λοιπῶν, μηδὲ πάθῃς ταὐτὸ τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς ἀλλ'
ἐπιμείνῃς ἡσυχάζουσαν ἔχων τὴν διάνοιαν, ἕως ἂν διὰ τέ-
λους ἀκούσῃς ἁπάντων τῶν λεγομένων. οἶμαι γὰρ ἐρεῖν τι
25 τῶν δεόντων καὶ τῶν σοὶ συμφερόντων. (ι'.) Καίτοι μ' οὐ c
λέληθεν, ὅσον διαφέρουσιν τῶν λόγων εἰς τὸ πείθειν οἱ λεγό-
μενοι τῶν ἀναγιγνωσκομένων, οὐδ' ὅτι πάντες ὑπειλήφασιν
τοὺς μὲν περὶ σπουδαίων πραγμάτων καὶ κατεπειγόντων
ῥητορεύεσθαι, τοὺς δὲ πρὸς ἐπίδειξιν καὶ πρὸς ἐργολαβίαν
26 γεγράφθαι. καὶ ταῦτ' οὐκ ἀλόγως ἐγνώκασιν· ἐπειδὰν γὰρ
ὁ λόγος ἀποστερηθῇ τῆς τε δόξης τῆς τοῦ λέγοντος καὶ τῆς
φωνῆς καὶ τῶν μεταβολῶν τῶν ἐν ταῖς ῥητορείαις γιγνομέ- d

23, 2. *πλήν.* S. zu **4, 114.** — 23, 5. *ἐθρασύναντο.* S. zu **4, 12.**

24, 6. *ἀκούσῃς*, hier vom Lesen, (cf. Wyttenbach ad Plut. Moral. p. 159) im Sinne von *ἀναγιγνώσκειν*, mit dem es hier (§ **25**) und § **26** seq., ebenso 12, 246 wechselt; s. auch § **83** verglichen mit § **110,** und § **151.** In gleicher Bedeutung erscheint *ἀκούειν* neben *γεγράφθαι* § **155.** 11, 47. 12, 238. 15, 10. Ebenso *τῶν ποιητῶν ἀκροατής.* 2, 13. *λόγου γεγραμμένου ἀκρόασις* 15, 12 (coll. Ep. 1, 2). *συγγράμματος ἀκροατής* Ep. 1, 5. *οἱ ἀκροώμενοι* 15, 11. Vergl. Held ad Plut. Timol. p. 406. Der deutsche Sprachgebrauch geht nur soweit, den Schriftsteller, dessen Produkt wir lesen, als einen zu uns Redenden zu bezeichnen, während der griechische konsequenter Weise auch den Leser als einen Hörenden betrachtet.

25, 4. *τοὺς μὲν* = *τοὺς λεγομένους*, also: jene. S. zu **1, 15.**

26, 3. *φωνῆς κ. τ. μεταβ.*, wenn der Rede abgeht, zu ihr nicht hinzukommt das lebendige Wort und der Wechsel der Empfindungen, wie er sich ausspricht in der Höhe oder Tiefe der Stimme und den Gestikulationen. — *ῥητορείαις*, den kunstgemäfs gearbeiteten und kunstgemäfs vorgetragenen Reden. Vergl. *ῥητορεύεσθαι* § **25** und Ep. 8, 7 *ἐγὼ* (Isokr.) *τοῦ μὲν πολιτεύεσθαι καὶ ῥητορεύειν ἀπέστην· οὔτε γὰρ φωνὴν εἶχον*

νων, ἔτι δὲ τῶν καιρῶν καὶ τῆς σπουδῆς τῆς περὶ τὴν πρᾶ-
ξιν, καὶ μηδὲν ᾖ τὸ συναγωνιζόμενον καὶ συμπεῖθον, ἀλλὰ
τῶν μὲν προειρημένων ἁπάντων ἔρημος γένηται καὶ γυμνός,
ἀναγιγνώσκῃ δέ τις αὐτὸν ἀπιθάνως καὶ μηδὲν ἦθος ἐνση-
27 *μαινόμενος ἀλλ' ὥσπερ ἀπαριθμῶν, εἰκότως, οἶμαι, φαῦλος*
εἶναι δοκεῖ τοῖς ἀκούουσιν. ἅπερ καὶ τὸν νῦν ἐπιδεικνύμε-
νον μάλιστ' ἂν βλάψειεν καὶ φαυλότερον φαίνεσθαι ποιήσειεν· e
οὐδὲ γὰρ ταῖς περὶ τὴν λέξιν εὐρυθμίαις καὶ ποικιλίαις κε-
κοσμήκαμεν αὐτόν, αἷς αὐτός τε νεώτερος ὢν ἐχρώμην καὶ
τοῖς ἄλλοις ὑπέδειξα, δι' ὧν τοὺς λόγους ἡδίους ἂν ἅμα καὶ
28 *πιστοτέρους ποιοῖεν. ὧν οὐδὲν ἔτι δύναμαι διὰ τὴν ἡλικίαν,* 88
ἀλλ' ἀπόχρη μοι τοσοῦτον, ἢν αὐτὰς τὰς πράξεις ἁπλῶς δυ-
νηθῶ διελθεῖν. ἡγοῦμαι δὲ καὶ σοὶ προσήκειν ἁπάντων τῶν
ἄλλων ἀμελήσαντι ταύταις μόναις προσέχειν τὸν νοῦν. οὕτω
δ' ἂν ἀκριβέστατα καὶ κάλλιστα θεωρήσειας, εἴ τι τυγχάνο-
29 *μεν λέγοντες, ἢν τὰς μὲν δυσχερείας τὰς περὶ τοὺς σοφιστὰς*
καὶ τοὺς ἀναγιγνωσκομένους τῶν λόγων ἀφέλῃς, ἀναλαμβά- b
νων δ' ἕκαστον αὐτῶν εἰς τὴν διάνοιαν ἐξετάζῃς, μὴ πάρερ-
γον ποιούμενος μηδὲ μετὰ ῥᾳθυμίας, ἀλλὰ μετὰ λογισμοῦ

ἱκανὴν οὔτε τόλμαν. — 26, 4. *τῶν καιρῶν καὶ τῆς σπουδῆς*, das zeitgemäſse und das allgemeine Interesse an der Sache. — 26, 5. *συναγωνιζόμενον* s. zu **1, 3.** — 26, 7. *ἀπιθάνως*, ohne ein Eingehen in die Gedanken des Verfassers, dessen Stimmung der Leser völlig treu in sich reproduzieren soll. So wird *πιθανός* vom getreuen Nachahmen eines Gegenstandes von seiten eines Künstlers gebraucht. — *μηδὲν ἦθος ἐν.* ohne einen Ausdruck von Gefühl. — 26, 8. *ἀπαριθμῶν*, Silben zählend. Strange in Jahns Jahrb. Suppl. III (1835) S. 594 vergleicht Themist. Orat. 26 p. 392 Dind. *τοῖς λόγοις, οὓς ἂν — ἕτεροι λαμβάνοντες ἐν ταῖς χερσὶν ἀπαριθμοῖεν, οὐκ ἐνιέντες τὸν νοῦν τοῖς ὀνόμασιν οὐδὲ ἐνσημαινόμενοι τὴν φροντίδα, μεθ' ἧς ὁ πατὴρ αὐτοὺς ἐτεκνώσατο.*

27, 2. *ἀκούουσιν* = *ἀναγιγνώσκουσιν.* Über den Plural nach *εἴ τις* s. § **37** und zu **7, 63.** — *ἐπιδεικνύμενον* = *δεικνύμενον*, s. zu § **1**, nicht im Sinne des *ἐπίδειξιν ποιεῖσθαι* § **25.** Denn der Begriff der Prunkrede, die keinen praktischen Zweck verfolgt, liegt nur in dem Medium *ἐπιδείκνυσθαι λόγον*, nicht auch im Aktiv oder Passiv. Vergl. Plat. Hipp. maior. 286 B *τοῦτον (τὸν λόγον) καὶ ἐκεῖ ἐπεδειξάμην καὶ ἐνθάδε μέλλω ἐπιδεικνύναι.* — 27, 4. *κεκοσμήκαμεν — ἐχρώμην.* S. zu **4, 14.** Zum Gedanken vergl. 12, 1 seqq.

28, 2. *τοσοῦτον* s. zu **4, 114.**

29, 1. *τὰς δυσχερείας*, den Übelständen, welche mit dem Auftreten als Sophist mit einer *ἐπίδειξις* (s. § **25**) nach der gewöhnlichen Meinung nun einmal verbunden sind. Über *δυσχέρεια* vergl. die ähnliche Stelle Ep. 1, 3 *ἡγοῦμαι γὰρ ἁπάσας ἀφέντα σε τὰς δυσχερείας τὰς προειρημένας αὐταῖς ταῖς πράξεσι προσέξειν τὸν νοῦν.* — 29, 2. *ἀφέλῃς*, in Gedanken wegnimmst, d. h. davon absiehst. Vergl. Aristoph. Lysist.

καὶ φιλοσοφίας, ἧς καὶ σὲ μετεσχηκέναι φασίν. μετὰ γὰρ
τούτων σκοπούμενος μᾶλλον ἢ μετὰ τῆς τῶν πολλῶν δόξης
ἄμεινον ἂν βουλεύσαιο περὶ αὐτῶν.
Ἃ μὲν οὖν ἠβουλόμην μοι προειρῆσθαι, ταῦτ' ἐστίν,
30 *(ια') περὶ δ' αὐτῶν τῶν πραγμάτων ἤδη ποιήσομαι τοὺς λό-*
γους. φημὶ γὰρ χρῆναί σε τῶν μὲν ἰδίων μηδενὸς ἀμελῆσαι, c
πειραθῆναι δὲ διαλλάξαι τήν τε πόλιν τὴν Ἀργείων καὶ τὴν
Λακεδαιμονίων καὶ τὴν Θηβαίων καὶ τὴν ἡμετέραν. ἢν γὰρ
ταύτας συστῆσαι δυνηθῇς, οὐ χαλεπῶς καὶ τὰς ἄλλας ὁμο-
31 *νοεῖν ποιήσεις· ἅπασαι γάρ εἰσιν ὑπὸ ταῖς εἰρημέναις καὶ*
καταφεύγουσιν, ὅταν φοβηθῶσιν, ἐφ' ἣν ἂν τύχωσιν τούτων,
καὶ τὰς βοηθείας ἐντεῦθεν λαμβάνουσιν. ὥστ' ἂν τέτταρας d
μόνον πόλεις εὖ φρονεῖν πείσῃς, καὶ τὰς ἄλλας πολλῶν κακῶν
ἀπαλλάξεις.
32 *(ιβ'.) Γνοίης δ' ἂν ὡς οὐδεμιᾶς σοι προσήκει τούτων*
ὀλιγωρεῖν, ἢν ἀνενέγκῃς αὐτῶν τὰς πράξεις ἐπὶ τοὺς σαυτοῦ
προγόνους· εὑρήσεις γὰρ ἑκάστῃ πολλὴν φιλίαν πρὸς ὑμᾶς
καὶ μεγάλας εὐεργεσίας ὑπαρχούσας. Ἄργος μὲν γάρ ἐστίν σοι
πατρίς, ἧς δίκαιον τοσαύτην σε ποιεῖσθαι πρόνοιαν, ὅσην
περ τῶν γονέων τῶν σαυτοῦ· Θηβαῖοι δὲ τὸν ἀρχηγὸν τοῦ e

36 *ἀλλ' ἄφελε τὰς ἐγχέλεις.* Plut. Tit. Flamin. 11, 3 *εἰ τὸ Μαραθώνιόν τις ἔργον ἀφέλοι*, und Moral. p. 41 B *τοὺς ἐν φιλοσοφίᾳ λόγους ἀφαιροῦντα χρὴ τὴν τοῦ λέγοντος δόξαν αὐτοὺς ἐφ' ἑαυτῶν ἐξετάζειν.* — 29, 5. *φιλοσοφίας*, wissenschaftlichem Sinne; vergl. 15, 292 *φιλοσοφίᾳ καὶ λογισμῷ τὴν δύναμιν λαβόντες*, und zu 1, 3. — 29, 6. *δόξης*, welche § 25 mitgeteilt wurde. — 29, 8. *μοὶ* = *ὑπ' ἐμοῦ.*

§ 30—38. *Zunächst mufs es Deine Aufgabe sein, die Argiver, Lakedaimonier, Thebaner und Athener, und damit alle übrigen hellenischen Staaten mit einander auszusöhnen* (30, 31). *Die Dankbarkeit, welche Du ihren Vorfahren schuldest, schreibt Dir vor so zu handeln* (32—34), *und die Rücksicht auf Deinen Ruhm und Deinen wahren Vorteil verlangt nicht feindselig gegen sie zu verfahren, sondern sie durch jene Versöhnung Dir zu verpflichten, ehe es zu spät ist* (35—38).

30, 5. *συστῆσαι*, zusammenbringen (d. h. versöhnen und zu gemeinsamem Handeln vereinigen), wie § 57.

31, 2. *τύχωσιν* (scil. *καταφεύγοντες.* S. zu 7, 29), bei welchen es sich gerade trifft.

32, 2. *ἀνενέγκῃς*, in Beziehung setzest, nicht wie Benseler übersetzt: *ihr Betragen gegen deine Vorfahren ins Gedächtnis zurückrufst*, denn dann müfste es *τὰς ἐπὶ τοὺς σ. προγ. πράξεις* heifsen. — 32, 5. *πατρίς* hier in ungewöhnlicher Bedeutung: das Land deiner Väter. Anders Iulian. Epist. 35 init. *Φιλίππου καὶ Ἀλεξάνδρου τῶν προγόνων πατρὶς ἦν* (*Ἄργος*). Vergl. auch Livius 27, 30, 9 *Macedonum reges ex ea civitate (Argis) oriundos se referunt*, und id. 32, 22, 11. — 32, 6. *ἀρχηγόν*, den Herakles. Vergl. Vel-

γένους ὑμῶν τιμῶσιν καὶ ταῖς προσόδοις καὶ ταῖς θυσίαις
33 *μᾶλλον ἢ τοὺς θεοὺς τοὺς ἄλλους· Λακεδαιμόνιοι δὲ τοῖς*
ἀπ' ἐκείνου γεγονόσιν καὶ τὴν βασιλείαν καὶ τὴν ἡγεμονίαν
εἰς ἅπαντα τὸν χρόνον δεδώκασιν· τὴν δὲ πόλιν τὴν ἡμετέραν 89
φασίν, οἷς περὶ τῶν παλαιῶν πιστεύομεν, Ἡρακλεῖ μὲν συν-
αιτίαν γενέσθαι τῆς ἀθανασίας (ὃν δὲ τρόπον, σοὶ μὲν αὖθις
πυθέσθαι ῥᾴδιον, ἐμοὶ δὲ νῦν εἰπεῖν οὐ καιρός), τοῖς δὲ
34 *παισὶ τοῖς ἐκείνου τῆς σωτηρίας. μόνη γὰρ ὑποστᾶσα τοὺς*
μεγίστους κινδύνους πρὸς τὴν Εὐρυσθέως δύναμιν ἐκεῖνόν τε
τῆς μεγίστης ὕβρεως ἔπαυσεν καὶ τοὺς παῖδας τῶν φόβων τῶν
ἀεὶ παραγιγνομένων αὐτοῖς ἀπήλλαξεν. ὑπὲρ ὧν οὐ μόνον b
τοὺς τότε σωθέντας δίκαιον ἦν ἡμῖν χάριν ἔχειν ἀλλὰ καὶ
τοὺς νῦν ὄντας· διὰ γὰρ ἡμᾶς καὶ ζῶσι καὶ τῶν ὑπαρχόντων
ἀγαθῶν ἀπολαύουσι· μὴ γὰρ σωθέντων ἐκείνων οὐδὲ γενέσθαι
τὸ παράπαν ὑπῆρχεν αὐτοῖς.

35 *(ιγ'.) Τοιούτων οὖν ἁπασῶν τῶν πόλεων γεγενημένων*
ἔδει μὲν μηδέποτέ σοι μηδὲ πρὸς μίαν αὐτῶν γενέσθαι δια-
φοράν. ἀλλὰ γὰρ ἅπαντες πλείω πεφύκαμεν ἐξαμαρτάνειν
ἢ κατορθοῦν. ὥστε τὰ μὲν πρότερον γεγενημένα κοινὰ θεῖ- c
ναι δίκαιόν ἐστιν, εἰς δὲ τὸν ἐπίλοιπον χρόνον φυλακτέον,
ὅπως μηδὲν συμβήσεταί σοι τοιοῦτον, καὶ σκεπτέον, τί ἂν

leius 1, 6, 5 *Caranus, sextus decimus ab Heracle, profectus Argis regnum Macedoniae occupavit.* — 32, 7. *τιμῶσιν*, besonders bei dem Feste der Herakleen. S. Schoemann Altertüm.[3] II, p. 535. — 32, 8. *τοὺς θεοὺς τοὺς ἄλλους*. Dieselbe ungewöhnliche Stellung des *ἄλλος* auch 6, 73 und 17, 49. Vergl. Strange in Jahns Jahrb. Suppl. III (1835) p. 599.

33, 2. *τὴν ἡγεμονίαν*, den Oberbefehl im Kriege, welcher nach der Verfassung des Lykurg ein Vorrecht der Könige war. cf. Xenoph. Resp. Laced. 15, 1. Im Gegensatz dazu bezeichnet *βασιλεία* die Stellung des Königs daheim; über diese s. Schoemann Antiq. iur. publ. Graecor. p. 125. — 33, 4. *συναιτίαν*. Vergl. Diodor. 4, 39 *Ἀθηναῖοι* (die Marathonier, nach Pausan. 1, 15, 3) *πρῶτοι τῶν ἄλλων ὡς θεὸν ἐτίμησαν θυσίαις τὸν Ἡρακλέα καὶ τοῖς ἄλλοις ἀνθρώποις παράδειγμα τὴν ἑαυτῶν εἰς τὸν θεὸν εὐσέβειαν ἀποδείξαντες προετρέψαντο ἅπαντας Ἕλληνας — ὡς θεὸν τιμᾶν τὸν Ἡρακλέα.* — 33, 5. *αὖθις*, ein ander Mal, wie Isokr. 4, 110. 12, 34. Xenoph. Anab. 5, 4, 20 und sonst; cf. Stallbaum ad Plat. de republ. VI, p. 510 B. oft im Gegensatz zu *νῦν*, wie auch hier und Demosth. 21, 218 Lys. 30, 27 oder entgegengesetzt einem *ἐν δὲ τῷ παρόντι* Ep. 7, 10. — 33, 7. *σωτηρίας*. Vergl. 4, 61 seq.

34, 2. *Εὐρυσθέως* vergl. zu 4, 56.

35, 3. *πλείω πε. ἐξαμ. ἢ κατορ.* S. zu 7, 72 (9, 52). — 35, 4. *κοινὰ θεῖναι*, als gemeinsame Irrtümer anzusehen, woran Du so gut wie Deine Gegner Schuld bist. — 35, 6. *τί — ἐργασά-*

ἀγαθὸν αὐτὰς ἐργασάμενος φανείης ἄξια καὶ σαυτοῦ καὶ τῶν
36 *ἐκείναις πεπραγμένων πεποιηκώς. ἔχεις δὲ καιρόν· ἀποδιδόντα*
γάρ σε χάριν ὧν ὤφειλες, ὑπολήψονται διὰ τὸ πλῆθος τοῦ
χρόνου τοῦ μεταξὺ προϋπάρχειν τῶν εὐεργεσιῶν. καλὸν δ'
ἐστὶν δοκεῖν μὲν τὰς μεγίστας τῶν πόλεων εὖ ποιεῖν, μηδὲν δ' d
37 *ἧττον αὐτὸν ἢ 'κείνας ὠφελεῖν. χωρὶς δὲ τούτων, εἴ πρός*
τινας αὐτῶν ἀηδές τί σοι συμβέβηκεν, ἅπαντα ταῦτα διαλύ-
σεις· αἱ γὰρ ἐν τοῖς παροῦσι καιροῖς εὐεργεσίαι λήθην
ἐμποιοῦσι τῶν πρότερον [ὑμῖν] εἰς ἀλλήλους πεπλημμελημένων.
ἀλλὰ μὴν κἀκεῖνο φανερόν, ὅτι πάντες ἄνθρωποι τούτων
πλείστην μνείαν ἔχουσιν, ὑφ' ὧν ἂν ἐν ταῖς συμφοραῖς εὖ
38 *πάθωσιν. ὁρᾷς δ' ὡς τεταλαιπώρηνται διὰ τὸν πόλεμον καὶ*
ὡς παραπλησίως ἔχουσιν τοῖς ἰδίᾳ μαχομένοις. καὶ γὰρ ἐκείνους e
αὐξανομένης μὲν τῆς ὀργῆς οὐδεὶς ἂν διαλλάξειεν· ἐπὴν δὲ
κακῶς ἀλλήλους διαθῶσιν, οὐδενὸς διαλύοντος αὐτοὶ διέστη-
σαν. ὅπερ οἶμαι καὶ ταύτας ποιήσειν, ἢν μὴ σὺ πρότερον
αὐτῶν ἐπιμεληθῇς.
39 *(ιδ'.) Τάχ' οὖν ἄν τις ἐνστῆναι τοῖς εἰρημένοις τολμή-*
σειεν λέγων, ὡς ἐπιχειρῶ σε πείθειν ἀδυνάτοις ἐπιτίθεσθαι
πράγμασιν· οὔτε γὰρ Ἀργείους φίλους ἄν ποτε γενέσθαι Λα-

μενος, was Du thun mufst um ... s. zu **7, 1.**

36, 1. *ἔχεις δὲ καιρόν*, Du hast ein Interesse dabei. — 36, 3. *χρόνου τοῦ μεταξύ*, die seit der Zeit der *εὐεργεσία* jener Städte gegen Deine Vorfahren verstrichen ist.

38, 1. *καὶ ὡς* Hiatus wie 16, 15. 17, 38. — 38, 2. *ἰδίᾳ*, im Privatleben. — *ἐκείνους* geht auf die unmittelbar vorher erwähnten *ἰδίᾳ μαχόμενοι.* Vergl. zu **§ 51.** — 38, 3. *αὐξανομένης* cf. Krit. Anh. — *ἐπήν.* Diese epische Form [cf. Krit. Anh.] haben hier und da auch Thukydides, Xenophon, Lysias, Euripides und Aristophanes, vergl. Krüger Synt. § 69, 26 Anm.; auf attischen Inschriften findet es sich nicht. cf. Meisterhans Gr. der Att. Inschr. p. 108. Über den Koniunkt. *διαθῶσιν* nach dem (gnomischen) Aorist *διέστησαν* vergl. zu **7, 11.** — 38, 4. *αὐτοὶ διέστησαν*, kommen von selbst aus einander, hier von der Beendigung des Kampfes (wie Herod. 8, 18 und sonst), häufiger von dem Zerfallen mit einander; s. Krüger zu Thuk. 6, 77, 2.

§ 39—67. *Ich bin nicht der Ansicht, dafs diese Versöhnung durch Dich unmöglich sei, weder beim Hinblick auf jene Staaten, noch beim Hinblick auf Dich* (39—41); *beim Hinblick auf jene nicht, weil unsere Geschichte die Möglichkeit lehrt* (42—45) *und weil die unglückliche Lage der Lakedaimonier, Argiver und Thebaner sie bereitwillig auf Deine Ratschläge hören lassen wird* (46—55), *wie auch Athen es gewifs thut* (56); *beim Hinblick auf Dich nicht, weil Du doch wohl nicht weniger ausrichten wirst, als es einem Alkibiades, Konon, Dionys und Kyros möglich war* (57—67).

39, 1. *τάχ'* S. zu **4, 163.** —

*κεδαιμονίοις οὔτε Λακεδαιμονίους Θηβαίοις οὔθ' ὅλως τοὺς
εἰθισμένους ἅπαντα τὸν χρόνον πλεονεκτεῖν οὐδέποτ' ἂν
40 ἰσομοιρῆσαι πρὸς ἀλλήλους. (ιε'.) Ἐγὼ δ', ὅτε μὲν ἡ πόλις
ἡμῶν ἐν τοῖς Ἕλλησιν ἐδυνάστευεν καὶ πάλιν ἡ Λακεδαιμο-
νίων, οὐδὲν ἂν ἡγοῦμαι περανθῆναι τούτων· ῥᾳδίως γὰρ* b
*ἂν ἑκατέραν ἐμποδὼν γενέσθαι τοῖς πραττομένοις· νῦν δ' οὐχ
ὁμοίως ἔγνωκα περὶ αὐτῶν. οἶδα γὰρ ἁπάσας ὡμαλισμένας
ὑπὸ τῶν συμφορῶν, ὥσθ' ἡγοῦμαι πολὺ μᾶλλον αὐτὰς αἱρήσεσθαι
τὰς ἐκ τῆς ὁμονοίας ὠφελείας ἢ τὰς ἐκ τῶν τότε πραττομένων
41 πλεονεξίας. (ις'.) Ἔπειτα τῶν μὲν ἄλλων ὁμολογῶ μηδέν' ἂν
δυνηθῆναι διαλλάξαι τὰς πόλεις ταύτας, σοὶ δ' οὐδὲν τῶν* c
*τοιούτων ἐστὶν χαλεπόν. ὁρῶ γάρ σε τῶν τοῖς ἄλλοις ἀνελπί-
στων δοκούντων εἶναι καὶ παραδόξων πολλὰ διαπεπραγμένον,
ὥστ' οὐδὲν ἄτοπον, εἰ καὶ ταῦτα μόνος συστῆσαι δυνηθείης.
χρὴ δὲ τοὺς μέγα φρονοῦντας καὶ τοὺς διαφέροντας μὴ τοῖς
τοιούτοις ἐπιχειρεῖν, ἃ καὶ τῶν τυχόντων ἄν τις καταπράξειεν,
ἀλλ' ἐκείνοις οἷς μηδεὶς ἂν ἄλλος ἐπιχειρήσειεν πλὴν τῶν
ὁμοίαν σοὶ καὶ τὴν φύσιν καὶ τὴν δύναμιν ἐχόντων.* d
42 *(ιζ'). Θαυμάζω δὲ τῶν ἡγουμένων ἀδύνατον εἶναι πρα-
χθῆναί τι τούτων, εἰ μήτ' αὐτοὶ τυγχάνουσιν εἰδότες μήθ'
ἑτέρων ἀκηκόασιν, ὅτι πολλοὶ δὴ πόλεμοι καὶ δεινοὶ γεγόνασιν,
οὓς οἱ διαλυσάμενοι μεγάλων ἀγαθῶν ἀλλήλοις αἴτιοι κατέ-
στησαν. τίς γὰρ ἂν ὑπερβολὴ γένοιτο τῆς ἔχθρας τῆς πρὸς
Ξέρξην τοῖς Ἕλλησι γενομένης; οὗ τὴν φιλίαν ἅπαντες ἴσα-
σιν ἡμᾶς τε καὶ Λακεδαιμονίους μᾶλλον ἀγαπήσαντας ἢ τῶν* e

39, 5. *πλεονεκτεῖν — ἰσομοιρῆσαι.* S. zu **4, 17.**

40, 5. *ὡμαλισμένας.* Vergl. 6, 65 *οὕτω δ' ὡμαλισμένοι ταῖς συμφοραῖς εἰσιν ὥστε μηδένα διαγνῶναι δύνασθαι τοὺς κάκιστα πράττοντας αὐτῶν.*

41, 7. *τῶν τυχόντων — τις,* der Erste Beste. S. zu **1, 48.**

42, 1. *θαυμάζω, εἰ* s. zu **4, 1.** — 42, 2. *εἰδότες — ἀκηκόασιν.* Vergl. 12, 168 *τίς γὰρ οὐκ οἶδεν ἢ τίς οὐκ ἀκήκοεν —;* 12, 267 *ὥστε τοὺς εἰδότας καὶ τοὺς παρὰ τούτων πυνθανομένους μᾶλλόν με θαυμάζειν.* 7, 19 *συλλήβδην μόνον ἀκηκοότες ἀλλ' ἀκριβῶς εἰδότες.* cf. Sauppe ad Demosth. orat. select. p. 3. — 42, 6. *Ξέρξην.* Im folgenden kann schwerlich von etwas anderem die Rede sein als von dem antalkidischen Frieden, den die Lakedaimonier schlossen um Persien sich zu gewinnen, und die Athener sich gefallen liefsen. Statt Xerxes erwartet man darum Artaxerxes; „aber der Name Xerxes steht zuweilen nur als Bezeichnung für Perserkönig; Xerxes nämlich ist „König;" bedenklich also ist es, überall wo Xerxes statt Artaxerxes steht, ändern zu wollen." Krüger, Historisch-philologische Studien p. 55 not. 1. [cf. Krit. Anh.]

43 *συγκατασκευασάντων ἑκατέροις ἡμῶν τὴν ἀρχήν. καὶ τί δεῖ λέγειν τὰ παλαιὰ καὶ τὰ πρὸς τοὺς βαρβάρους; ἀλλ' εἴ τις ἀθρήσειε καὶ σκέψαιτο τὰς τῶν Ἑλλήνων συμφοράς, οὐδὲν ἂν μέρος οὖσαι φανεῖεν τῶν διὰ Θηβαίους καὶ Λακεδαιμονίους ἡμῖν γεγενημένων. ἀλλ' οὐδὲν ἧττον Λακεδαιμονίων τε στρατευ-* 91
σάντων ἐπὶ Θηβαίους καὶ βουλομένων λυμήνασθαι τὴν Βοιωτίαν καὶ διοικίσαι τὰς πόλεις, βοηθήσαντες ἡμεῖς ἐμποδὼν
44 *ἐγενόμεθα ταῖς ἐκείνων ἐπιθυμίαις· καὶ πάλιν μεταπεσούσης τῆς τύχης καὶ Θηβαίων καὶ Πελοποννησίων ἁπάντων ἐπιχειρησάντων ἀνάστατον ποιῆσαι τὴν Σπάρτην, ἡμεῖς καὶ πρὸς ἐκείνους μόνοι τῶν Ἑλλήνων ποιησάμενοι συμμαχίαν*
45 *συναίτιοι τῆς σωτηρίας αὐτοῖς κατέστημεν. πολλῆς οὖν ἀνοίας* b
ἂν εἴη μεστός, εἴ τις ὁρῶν τηλικαύτας μεταβολὰς γιγνομένας καὶ τὰς πόλεις μήτ' ἔχθρας μήθ' ὅρκων μήτ' ἄλλου μηδενὸς φροντιζούσας, πλὴν ὅ τι ἂν ὑπολάβωσιν ὠφέλιμον αὑταῖς εἶναι, τοῦτο δὲ στεργούσας μόνον καὶ πᾶσαν τὴν σπουδὴν περὶ τούτου ποιουμένας, μὴ καὶ νῦν νομίζοι τὴν αὐτὴν γνώμην ἕξειν αὐτάς, ἄλλως τε καὶ σοῦ μὲν ἐπιστατοῦντος ταῖς

43, 1. *τί δεῖ λέγειν τὰ παλαιά;* In dieser formelhaften Wendung (s. Beispiele bei Wyttenbach ad Iulian. p. 141 Lips.) ist *παλαιά* nicht zu sehr zu urgieren; wie es hier die Zeit vor 41 Jahren bezeichnet, so bei Demosth. 22, 15 die Zeit des peloponnesischen Krieges. — 43, 2. *ἀλλά*, nach einer Frage mit negativem Sinn auch 6, 104. 10, 59. 17, 26. — 43, 3. *οὐδὲν — μέρος* (etwa: nur als der tausendste Teil) ist ein verstärkter Ausdruck für *μικρὸν μέρος*. Ebenso 12, 16 *φράζειν οὐδὲν μέρος ἔχοντες τῶν εἰρημένων ὑπ' ἐμοῦ*. 12, 54 *οὐδὲν ἂν μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνοις ἡμαρτημένων.* Jetzt auch 2, 11 *αἱ πανηγύρεις οὐδὲν μέρος τιθέασι τούτων τῶν ἄθλων*, wo Benseler *οὐδ' ἓν* las. Plut. Lysand. 12 *λίθος ἄλλως μὲν μέγας, οὐδὲν δὲ μέρος, ὡς εἰπεῖν, ἐκείνης τῆς πυροειδοῦς περιοχῆς ἔχων.* id. Sull. 31 *ἦσαν δὲ οἱ δι' ὀργὴν ἀπολλύμενοι καὶ δι' ἔχθραν οὐδὲν μέρος τῶν διὰ χρήματα σφαττομένων.* id. ibid. 36 *ὥστε — μηδὲν εἶναι μέρος τοῦ ἐπιγινομένου τὸ ἀποκρινόμενον.* — 43, 4. *τῶν διὰ Θηβαίους*, welche 14, 31 angedeutet werden. — 43, 5. *Λακεδαιμονίων τε στρ.*, 378 v. Chr. unter Agesilaos, den jedoch ein athenisches Hülfsheer unter Chabrias zum Rückzug nötigte. cf. Diodor. 15, 32 seq. Das *τέ* korrespondiert mit *καί* § 44 init. — 43, 7. *διοικίσαι*, die boeotischen Städte vom Bunde mit Theben trennen, also anders wie 8, 100 *Μαντινέας διῴκισαν* (s. zu 4, 126).

44, 3. *ἐπιχειρησάντων*, nach der Schlacht bei Leuktra (371 v. Chr.), bis ein athenisches Heer unter Iphikrates den Epameinondas zum Rückzug aus dem Peloponnes zwang. Isokr. berührt die Sache auch 8, 105 und 107; das Genauere bei Xenoph. Hellen. 6, 5, 23—52, Diodor. 15, 63—65.

45, 3. *ὅρκων*, welche sie bei Friedensschlüssen einander leisteten. — 45, 7. *ἄλλως τε καί* S. zu

διαλλαγαῖς, τοῦ δὲ συμφέροντος πείθοντος, τῶν δὲ παρόντων c
κακῶν ἀναγκαζόντων. ἐγὼ μὲν γὰρ οἶμαι τούτων σοι συναγω-
νιζομένων ἅπαντα γενήσεσθαι κατὰ τρόπον.

46 *(ιη΄.) Ἡγοῦμαι δ' οὕτως ἂν σε μάλιστα καταμαθεῖν,*
εἴτ' εἰρηνικῶς εἴτε πολεμικῶς αἱ πόλεις αὗται πρὸς ἀλλήλας
ἔχουσιν, εἰ διεξέλθοιμεν μήτε παντάπασιν ἁπλῶς μήτε λίαν
ἀκριβῶς τὰ μέγιστα τῶν παρόντων αὐταῖς. Καὶ πρῶτον μὲν
σκεψαίμεθα τὰ Λακεδαιμονίων.

47 *(ιθ΄.) Οὗτοι γὰρ ἄρχοντες τῶν Ἑλλήνων οὐ πολὺς* d
χρόνος ἐξ οὗ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν εἰς τοσαύτην
μεταβολὴν ἦλθον, ἐπειδὴ τὴν μάχην ἡττήθησαν τὴν ἐν Λεύ-
κτροις, ὥστ' ἀπεστερήθησαν μὲν τῆς ἐν τοῖς Ἕλλησι δυναστείας,
τοιούτους δ' ἄνδρας ἀπώλεσαν σφῶν αὐτῶν, οἳ προῃροῦντο
τεθνάναι μᾶλλον ἢ ζῆν ἡττηθέντες ὧν πρότερον ἐδέσποζον.
48 *πρὸς δὲ τούτοις ἐπεῖδον Πελοποννησίους ἅπαντας τοὺς πρό-*
τερον μεθ' αὑτῶν ἐπὶ τοὺς ἄλλους ἀκολουθοῦντας, τούτους e
μετὰ Θηβαίων εἰς τὴν αὑτῶν εἰσβάλοντας, πρὸς οὓς ἠναγ-
κάσθησαν διακινδυνεύειν οὐκ ἐν τῇ χώρᾳ περὶ τῶν καρπῶν
ἀλλ' ἐν μέσῃ τῇ πόλει πρὸς αὐτοῖς τοῖς ἀρχείοις περὶ παίδων

4, 66. — 45, 10. *κατὰ τρόπον*, nach Wunsch. S. zu 7, 11.

47, 1. *οὐ πολὺς χρόνος ἐξ οὗ* ist wie ein einfacher adverbialer Ausdruck („seit Kurzem," nämlich seit dem antalkidischen Frieden) in die Rede eingeschoben, in welchem nicht seltenen Falle (cf. Lobeck ad Sophokl. Aiac. v. 600) *ἐστί* regelmäſsig fehlt; vergl. noch Xenoph. Anab. 3, 2, 14 *οὐ μὲν δὴ τοῦτό γε ἐρῶ, ὡς ὑμεῖς καταισχύνετε αὐτούς, ἀλλ' οὔπω πολλαὶ ἡμέραι ἀφ' οὗ — πολλαπλασίους ὑμῶν αὐτῶν ἐνικᾶτε.* Plat. de republ. V p. 452 C *ὑπομνήσασιν, ὅτι οὐ πολὺς χρόνος ἐξ οὗ — ἐδόκει.* Anders 18, 29 *ὑπόγυιον γάρ ἐστιν, ἐξ οὗ — κατεφύγομεν.* — 47, 5. *τοιούτους — οἵ*, so tüchtige Männer, Männer, welche; ähnlich § 48; s. zu 7, 48. — *προῃροῦντο — μᾶλλον.* Derselbe Pleonasmus auch 8, 93, Ep. 7, 1. Lykurg. Leokrat. 86 *προῃροῦντο ἀποθνήσκειν ὑπὲρ τῆς τῶν ἀρχομένων σωτηρίας μᾶλλον ἢ ζῶντες μεταλλάξαι τὴν χώραν.* Vergl. im Latein. Cic. in Caecil. 6, 21 *Siculi se ab omnibus desertos potius, quam abste defensos esse malunt.* Liv. 22, 34, 11 *qui magis vere vincere quam diu imperare mallet.* Und so steht *μᾶλλον* häufig pleonastisch bei einem Komparativ: 2, 22 *πιστοτέρους εἶναι τοὺς σοὺς λόγους μᾶλλον ἢ τοὺς ὅρκους.* 6, 89. 10, 27. 53. 19, 46. Vergl. Schoemann ad Isae. p. 194.

48, 1. *ἅπαντας*, die Argiver, Messenier und die meisten Arkadischen Städte. Xenoph. Hellen. 7, 5, 5. — 48, 5. *ἐν μέσῃ τῇ πόλει.* Kurz vor der Schlacht bei Mantineia (362 v. Chr.) unternahm Epameinondas einen Handstreich gegen das von Truppen entblöſste Sparta und drang bis zum Markte vor, wo sich die wenigen zurückgebliebenen Spartaner hielten, bis Hülfe kam und Epameinondas geraten fand sich zurückzuziehen. Vergl. besonders Polyb. 9, 8. — *παίδων καὶ γυναικῶν.* Die

καὶ γυναικῶν τοιοῦτον κίνδυνον, ὃν μὴ κατορθώσαντες μὲν 92
49 εὐθὺς ἀπώλλυντο, νικήσαντες δ' οὐδὲν μᾶλλον ἀπηλλαγμέ-
νοι τῶν κακῶν εἰσιν, ἀλλὰ πολεμοῦνται μὲν ὑπὸ τῶν τὴν
χώραν αὐτῶν περιοικούντων, ἀπιστοῦνται δ' ὑφ' ἁπάντων
Πελοποννησίων, μισοῦνται δ' ὑπὸ τοῦ πλήθους τῶν Ἑλλή-
νων, ἄγονται δὲ καὶ φέρονται καὶ τῆς νυκτὸς καὶ τῆς ἡμέρας
ὑπὸ τῶν οἰκετῶν τῶν σφετέρων αὐτῶν, οὐδεμίαν δ' ἡμέραν
διαλείπουσιν ἢ στρατεύοντες ἐπί τινας ἢ μαχόμενοι πρός τινας b
50 ἢ βοηθοῦντες τοῖς ἀπολλυμένοις αὐτῶν. τὸ δὲ μέγιστον τῶν
κακῶν· δεδιότες γὰρ διατελοῦσιν, μὴ Θηβαῖοι διαλυσάμενοι τὰ
πρὸς Φωκέας πάλιν ἐπανελθόντες μείζοσιν αὐτοὺς συμφοραῖς
περιβάλωσιν τῶν πρότερον γεγενημένων. καίτοι πῶς οὐ χρὴ
νομίζειν τοὺς οὕτω διακειμένους ἀσμένους ἂν ἰδεῖν ἐπιστα-
τοῦντα τῆς εἰρήνης ἀξιόχρεων ἄνδρα καὶ δυνάμενον διαλῦσαι
τοὺς ἐνεστῶτας πολέμους αὐτοῖς; c
51 (κ'.) Ἀργείους τοίνυν ἴδοις ἂν τὰ μὲν παραπλησίως τοῖς
εἰρημένοις πράττοντας, τὰ δὲ χεῖρον τούτων ἔχοντας· πολε-
μοῦσιν μὲν γάρ, ἐξ οὗπερ τὴν πόλιν οἰκοῦσιν, πρὸς τοὺς ὁμό-
ρους, ὥσπερ Λακεδαιμόνιοι, τοσοῦτον δὲ διαφέρουσιν, ὅσον
ἐκεῖνοι μὲν πρὸς ἥττους αὐτῶν, οὗτοι δὲ πρὸς κρείττους·

Auslassung des Artikels ist in dieser Verbindung regelmäſsig; vergl. Krüger ad Dionys. Historiograph. p. 99. — 48, 7. *ἀπώλλυντο*, ohne *ἄν*, weil die Sicherheit des Eintretens dieser Folge bezeichnet werden soll, sie waren so gut wie verloren. Vergl. Maetzner ad Antiph. p. 175.

49, 3. *περιοικούντων*, wohl den Argivern und Messeniern, welche bald darauf Philipp gegen Sparta unterstützte. cf. Demosth. 6, 9 und 15. — 49, 5. *ἄγονται καὶ φέρονται*. Ähnlich mit dem Akkusativ der Person 6, 74 *ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν* (Krüger zu Xenoph. Anab. 2, 6, 5). Häufiger steht neben *ἄγειν καὶ φέρειν* (selten *φέρειν καὶ ἄγειν*, cf. Lobeck. Paralip. p. 62) der Akkusativ der Sache oder des Landes; vergl. Sauppe ad Demosth. orat. select. p. 34. Schoemann ad Plut. Kleom. p. 250. — 49, 6. *οἰκετῶν*, den Heloten.

50, 3. *Φωκέας*, von denen im heiligen Kriege (356—346 v. Chr.) die Thebaner eben (347) bei Koroneia geschlagen waren; Diodor. 16, 56. — *πάλιν*, wie zur Zeit der Schlacht bei Mantineia. — 50, 4. *περιβάλωσιν* S. zu **4, 127**. — 50, 5. *ἐπιστατοῦντα*, vermitteln. S. zu § **13**. Über die Konstruktion von *ἐπιστατεῖν* vergl. § **45** und zu **4, 104**.

51, 1. *τοίνυν*, ferner. S. zu 9, 41. — 51, 3. *ὁμόρους*, die Spartaner, welche (351 v. Chr.) in Argos einfielen und Orneae eroberten. Vergl. Diodor. 16, 34 und 39; s. auch zu § **49**. — 51, 4. *τοσοῦτον — ὅσον*, insofern —, als. S. zu 1, 4. — 51, 5. *ἐκεῖνοι*, die Lakedaimonier, *οὗτοι*, die Argiver, so daſs *ἐκεῖνοι* auf das zuletzt Erwähnte, *οὗτοι* auf das früher Genannte, aber dem Geiste

ὃ πάντες ἂν ὁμολογήσειαν μέγιστον εἶναι τῶν κακῶν. οὕτω
δὲ τὰ περὶ τὸν πόλεμον ἀτυχοῦσιν, ὥστ' ὀλίγου δεῖν καθ'
ἕκαστον τὸν ἐνιαυτὸν τεμνομένην καὶ πορθουμένην τὴν αὑτῶν d
52 χώραν περιορῶσιν. ὃ δὲ πάντων δεινότατον· ὅταν γὰρ οἱ
πολέμιοι διαλίπωσιν κακῶς αὐτοὺς ποιοῦντες, αὐτοὶ τοὺς ἐν-
δοξοτάτους καὶ πλουσιωτάτους τῶν πολιτῶν ἀπολλύουσιν, καὶ
ταῦτα δρῶντες οὕτω χαίρουσιν, ὡς οὐδένες ἄλλοι τοὺς πο-
λεμίους ἀποκτείνοντες. αἴτιον δ' ἐστὶ τοῦ ταραχωδῶς αὐτοὺς
ζῆν οὕτως οὐδὲν ἄλλο πλὴν ὁ πόλεμος· ὃν ἢν διαλύσῃς, οὐ
μόνον αὐτοὺς τούτων ἀπαλλάξεις ἀλλὰ καὶ περὶ τῶν ἄλλων e
ἄμεινον βουλεύεσθαι ποιήσεις.
53 (κα'.) Ἀλλὰ μὴν τὰ περὶ Θηβαίους οὐδὲ σὲ λέληθεν.
καλλίστην γὰρ μάχην νικήσαντες καὶ δόξαν ἐξ αὐτῆς μεγίστην
λαβόντες διὰ τὸ μὴ καλῶς χρῆσθαι ταῖς εὐτυχίαις οὐδὲν
βέλτιον πράττουσιν τῶν ἡττηθέντων καὶ δυστυχησάντων. οὐ 93
γὰρ ἔφθασαν τῶν ἐχθρῶν κρατήσαντες, καὶ πάντων ἀμελήσαν-
τες ἠνώχλουν μὲν ταῖς πόλεσι ταῖς ἐν Πελοποννήσῳ, Θετταλίαν δ' ἐτόλμων καταδουλοῦσθαι, Μεγαρεῦσιν δ' ὁμόροις οὖσιν
ἠπείλουν, τὴν δ' ἡμετέραν πόλιν μέρος τι τῆς χώρας ἀπε-
στέρουν, Εὔβοιαν δ' ἐπόρθουν, εἰς Βυζάντιον δὲ τριήρεις

des Redenden näher Liegende sich bezieht; ebenso oben § 38 und 6, 11, 24, ferner ἐκεῖ — ἐνθάδε 6, 92. Vergl. Schoemann ad Plut. Agin p. 72 seq. — 51, 8. τεμνομένην (vom Umhauen der Bäume) neben πορθεῖν auch 8, 84 τὴν πατρίδα τεμνομένην καὶ πορθουμένην περιορῶντες. 12, 102 τῆς χώρας πορθουμένης καὶ τεμνομένης. Dagegen 6, 66 τετμῆσθαι μὲν τὰς χώρας, πεπορθῆσθαι δὲ τὰς πόλεις, und 16, 13 τὸν σῖτον τὸν ἐν τῇ χώρᾳ διεφθείρετε καὶ τὴν γῆν ἐτέμνετε καὶ τὰ προάστεια ἐνεπρήσατε.

52, 1. ὃ δὲ πάντων δειν. ὅταν γάρ s. zu 7, 68. — 52, 3. ἀπολλύουσιν, in den Kämpfen zwischen der aristokratischen und demokratischen Partei, in denen z. B. 370 v. Chr. 1200 der Angesehensten hingerichtet wurden; s. Diodor. 15, 58. — 52, 6. οὕτως nachgestellt s. zu 9, 39.

53, 2. νικήσαντες, bei Leuktra, 371 v. Chr. — 53, 5. ἔφθασαν cf. Krit. Anh. zu 4, 86. — 53, 6. ἠνώχλουν, indem sie die Argiver, Arkader, Eleer und andere in ihre Kämpfe mit Sparta hereinzogen, auf dessen Seite wieder die Korinther, Epidaurier, Troizenier u. s. w. (Xenoph. Hellen. 7, 2, 2) standen. — 53, 7. καταδουλοῦσθαι, indem sie die Sicherung der thessalischen Städte gegen die Pläne des Tyrannen Alexander von Pherae zum Vorwand nahmen; die Thebaner verloren zwar dabei den Pelopidas (364 v. Chr.), erhielten aber von Alexander von Pherae die Magneten und Phthioten. Diodor. 15, 80. — 53, 8. ἠπείλουν. Die Sache ist weiter nicht bekannt; denn das von Plut. Phokion 15 erzählte Faktum fällt später; s. Schäfer l. l. II, S. 343. — μέρος, die Stadt Oropos, 366 v. Chr. S. Xenoph. Hellen. 7, 4, 1. — 53, 9. ἐπόρθουν, wohl bei Gelegenheit der inneren

54 ἐξέπεμπον ὡς καὶ γῆς καὶ θαλάττης ἄρξοντες. τελευτῶντες δὲ
πρὸς Φωκέας πόλεμον ἐξήνεγκαν ὡς τῶν τε πόλεων ἐν ὀλίγῳ
χρόνῳ κρατήσοντες, τόν τε τόπον ἅπαντα τὸν περιέχοντα κα-
τασχήσοντες, τῶν τε χρημάτων τῶν ἐν Δελφοῖς περιγενησό-
μενοι ταῖς ἐκ τῶν ἰδίων δαπάναις. ὧν οὐδὲν αὐτοῖς ἀποβέ- b
βηκεν, ἀλλ' ἀντὶ μὲν τοῦ λαβεῖν τὰς Φωκέων πόλεις τὰς
αὑτῶν ἀπολωλέκασιν, εἰσβάλλοντες δ' εἰς τὴν τῶν πολεμίων
ἐλάττω κακὰ ποιοῦσιν ἐκείνους ἢ πάσχουσιν ἀπιόντες εἰς τὴν
55 αὑτῶν. ἐν μὲν γὰρ τῇ Φωκίδι τῶν μισθοφόρων τινὰς ἀποκτεί-
νουσιν, οἷς λυσιτελεῖ τεθνάναι μᾶλλον ἢ ζῆν, ἀναχωροῦντες
δὲ τοὺς ἐνδοξοτάτους αὑτῶν καὶ μάλιστα τολμῶντας ὑπὲρ τῆς
πατρίδος ἀποθνήσκειν ἀπολλύουσιν. εἰς τοῦτο δ' αὐτῶν τὰ c
πράγματα περιέστηκεν, ὥστ' ἐλπίσαντες ἅπαντας τοὺς Ἕλληνας
ὑφ' αὑτοῖς ἔσεσθαι νῦν ἐν σοὶ τὰς ἐλπίδας ἔχουσι τῆς αὑτῶν
σωτηρίας. ὥστ' οἶμαι καὶ τούτους ταχέως ποιήσειν, ὅ τι ἂν
σὺ κελεύῃς καὶ συμβουλεύῃς.

56 (κβ'.) Λοιπὸν δ' ἂν ἦν ἡμῖν ἔτι περὶ τῆς πόλεως δια-
λεχθῆναι τῆς ἡμετέρας, εἰ μὴ προτέρα τῶν ἄλλων εὖ φρονή-
σασα τὴν εἰρήνην ἐπεποίητο. νῦν δ' αὐτὴν οἶμαι καὶ συνα- d
γωνιεῖσθαι τοῖς ὑπὸ σοῦ πραττομένοις, ἄλλως τε κἂν δυνη-
θῇ συνιδεῖν, ὅτι ταῦτα διοικεῖς πρὸ τῆς ἐπὶ τὸν βάρβαρον
στρατείας.

57 (κγ'.) Ὡς μὲν οὖν οὐκ ἀδύνατόν ἐστί σοι συστῆσαι τὰς

Streitigkeiten auf Euboea (358 v. Chr.), von denen Diodor 16, 7 erzählt. — 53, 10. *ἐξέπεμπον*, unter Anführung des Epameinondas, 364 v. Chr., s. Diodor. 15, 78 seq.

54, 2. *Φωκέας*. S. zu § 50. — 54, 4. *Δελφοῖς*, welches 355 v. Chr. von den Phokiern besetzt wurde, die nun bald der dort aufgehäuften Tempelschätze sich zur Führung des Krieges bedienten. S. Diodor. 16, 30. — 54, 6. *τὰς αὑτῶν*, Orchomenos (Diodor. 16, 33), Koroneia (id. 16, 35), u. Korsiae (id. 16, 58), welche bis zu Ende des Krieges in den Händen der Phokier blieben.

55, 1. *μισθοφόρων*, aus denen gröfstenteils das Heer der Phokier bestand und die von ihnen das Doppelte des gewöhnlichen Soldes erhielten; s. Diodor. 15, 36. — 55, 2. *ἀναχωροῦντες κ. τ. λ.* Die Phokier griffen die Thebaner gewöhnlich an, wenn diese nach ihren Einfällen in Phokis sich zurückzogen; so bei Naryx, (Diodor. 16, 38) und bei dem Berge Hedyleion (Demosth. 19, 148). — 55, 5. *τὰ πράγματα περιέστηκεν* wie 6, 47. 8, 59. 15, 120 und *τὰ πράγ. μετέστησεν* 12, 190 [cf. Krit. Anh.] — 55, 6. *ἐν σοί*. Die Thebaner suchten und fanden endlich Hülfe gegen die Phokier bei Philipp; s. Diodor. 16, 58 und 59.

56, 4. *πραττομένοις*, die Mafsregeln, welche Du zum Zwecke der Pacificierung von Hellas ergreifen wirst; über das Particip. Praes. statt des Part. Fut. s. zu 1, 44. — 56, 5. *πρό*, im Interesse.

πόλεις ταύτας, ἐκ τῶν εἰρημένων ἡγοῦμαί σοι γεγενῆσθαι
φανερόν· ἔτι τοίνυν ὡς καὶ ῥᾳδίως ταῦτα πράξεις, ἐκ πολ-
λῶν παραδειγμάτων οἶμαί σε γνῶναι ποιήσειν. ἢν γὰρ φα- e
νῶσιν ἕτεροί τινες τῶν προγεγενημένων μὴ καλλίοσι μὲν
μηδ' ὁσιωτέροις ὧν ἡμεῖς συμβεβουλεύκαμεν ἐπιχειρήσαντες,
μείζω δὲ καὶ δυσκολώτερα τούτων ἐπιτελέσαντες, τί λοιπὸν
ἔσται τοῖς ἀντιλέγουσιν, ὡς οὐ θᾶττον σὺ τὰ ῥᾴω πράξεις
ἢ 'κεῖνοι τὰ χαλεπώτερα;
58 *(κδ'.) Σκέψαι δὲ πρῶτον τὰ περὶ Ἀλκιβιάδην. ἐκεῖνος* 94
γὰρ φυγὼν παρ' ἡμῶν καὶ τοὺς ἄλλους ὁρῶν τοὺς πρὸ αὐτοῦ
ταύτῃ τῇ συμφορᾷ κεχρημένους ἐπτηχότας διὰ τὸ μέγεθος τὸ
τῆς πόλεως, οὐ τὴν αὐτὴν γνώμην ἔσχεν ἐκείνοις, ἀλλ' οἰη-
θεὶς πειρατέον εἶναι βίᾳ κατελθεῖν προείλετο πολεμεῖν πρὸς
59 *αὐτήν. καθ' ἕκαστον μὲν οὖν τῶν τότε γενομένων εἴ τις λέ-*
γειν ἐπιχειρήσειεν, οὔτ' ἂν διελθεῖν ἀκριβῶς δύναιτο, πρός
τε τὸ παρὸν ἴσως ἂν ἐνοχλήσειεν· εἰς τοσαύτην δὲ ταραχὴν b
κατέστησεν οὐ μόνον τὴν πόλιν ἀλλὰ καὶ Λακεδαιμονίους καὶ
τοὺς ἄλλους Ἕλληνας, ὥσθ' ἡμᾶς μὲν παθεῖν ἃ πάντες ἴσασιν,
60 *τοὺς δ' ἄλλους τηλικούτοις κακοῖς περιπεσεῖν, ὥστε μηδέπω*
νῦν ἐξιτήλους εἶναι τὰς συμφορὰς τὰς δι' ἐκεῖνον τὸν πόλε-
μον ἐν ταῖς πόλεσιν ἐγγεγενημένας, Λακεδαιμονίους δὲ τοὺς τότε

57, 8. *ἀντιλέγουσιν, ὡς οὐ.* Der Satz mit *ὡς οὐ* enthält nicht das, was sie der anderen Meinung widersprechend entgegnen, sondern das, dem sie widersprechen. Sauppe Jahrb. VI (1832) S. 70. vergleicht aufser Isokr. 8, 48 *περὶ ὧν οὐδεὶς ἂν τολμήσειεν ἀντειπεῖν, ὡς οὐ τὴν μὲν ἐμπειρίαν — ἔχομεν πολιτείαν δ' οἵαν εἶναι χρή, παρὰ μόνοις ἡμῖν ἐστίν* (wo *ὡς οὐ* nicht das ist, was sie entgegnen, sondern was sie leugnen möchten) noch Thuk. 1, 77, 3, Plat. Symp. p. 216 B. Phileb. p. 19 D. [cf. Krit. Anh.]

58, 2. *φυγών*, infolge der Profanierung der Mysterien. S. Thuk. 6, 61 und Isokr. 16, 6 seqq.

59, 1. *τῶν τότε γενομένων.* Man erwartet den Akkusativ; indessen ist bei *καθ' ἕκαστον* der Genetiv partitivus sehr gewöhnlich, indem es die Griechen als einen Substantivbegriff faſsten; vergl. Thuk. 7, 8, 1 *ἀγγέλλων καθ' ἕκαστα τῶν γιγνομένων.* cf. Sauppe ad Demosth. orat. select. p. 18. Ähnlich Thuk. 4, 30, 2 *ἐμπρήσαντός τινος κατὰ μικρὸν τῆς ὕλης.* id. 1, 50, 2 (coll. 4, 3, 2. 7, 39, 2. 7, 65, 2) *νεῶν ἐπὶ πολὺ τῆς θαλάσσης ἐπεχουσῶν.* id. 2, 76, 4 (coll. 4, 100, 2) *τοῦ οἰκοδομήματος — ἐπὶ μέγα κατέσεισε.* id. 7, 37, 2 *προσῆγε τῷ τείχει, καθ' ὅσον πρὸς τὴν πόλιν αὐτοῦ ἑώρα.* Lys. 13, 8 (coll. 13, 14) *εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου.* Xenoph. Hellen. 2, 2, 15 *τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκατέρου.* — 59, 5. *παθεῖν*, die Schlacht bei Aigospotamoi und die Eroberung Athens durch Lysander mit ihren Folgen.

60, 2. *συμφοράς*, welche 4, 111 seqq. angedeutet werden.

δόξαντας εὐτυχεῖν εἰς τὰς νῦν ἀτυχίας δι' Ἀλκιβιάδην καθε-
στάναι· πεισθέντες γὰρ ὑπ' αὐτοῦ τῆς κατὰ θάλατταν δυνά- c
μεως ἐπιθυμῆσαι καὶ τὴν κατὰ γῆν ἡγεμονίαν ἀπώλεσαν, ὥστ',
61 *εἴ τις φαίη τότε τὴν ἀρχὴν αὐτοῖς γίγνεσθαι τῶν παρόν-*
των κακῶν, ὅτε τὴν ἀρχὴν τῆς θαλάττης ἐλάμβανον, οὐκ ἂν
ἐξελεγχθείη ψευδόμενος. ἐκεῖνος μὲν οὖν τηλικούτων κακῶν
αἴτιος γενόμενος κατῆλθεν εἰς τὴν πόλιν, μεγάλης μὲν δόξης
τυχών, οὐ μὴν ἐπαινούμενος ὑφ' ἁπάντων. (κε'.) *Κόνων*
δ' οὐ πολλοῖς ἔτεσιν ὕστερον ἀντίστροφα τούτων ἔπραξεν. d
62 *ἀτυχήσας γὰρ ἐν τῇ ναυμαχίᾳ τῇ περὶ Ἑλλήσποντον οὐ δι' αὐ-*
τὸν ἀλλὰ διὰ τοὺς συνάρχοντας οἴκαδε μὲν ἀφικέσθαι κατη-
σχύνθη, πλεύσας δ' εἰς Κύπρον χρόνον μέν τινα περὶ τὴν
τῶν ἰδίων ἐπιμέλειαν διέτριβεν, αἰσθόμενος δ' Ἀγησίλαον
μετὰ πολλῆς δυνάμεως εἰς τὴν Ἀσίαν διαβεβηκότα καὶ πορ-
63 *θοῦντα τὴν χώραν οὕτω μέγ' ἐφρόνησεν, ὥστ' ἀφορμὴν οὐ-*
δεμίαν ἄλλην ἔχων πλὴν τὸ σῶμα καὶ τὴν διάνοιαν ἤλπισεν e
Λακεδαιμονίους καταπολεμήσειν ἄρχοντας τῶν Ἑλλήνων καὶ
κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ ταῦτα πέμπων ὡς τοὺς
βασιλέως στρατηγοὺς ὑπισχνεῖτο ποιήσειν. καὶ τί δεῖ τὰ
πλείω λέγειν; συστάντος γὰρ αὐτῷ ναυτικοῦ περὶ Ῥόδον καὶ
νικήσας τῇ ναυμαχίᾳ Λακεδαιμονίους μὲν ἐξέβαλεν ἐκ τῆς 95

61, 1. *ἀρχήν.* Über die wechselnde Bedeutung dieses Wortes s. zu 4, 119. — *γίγνεσθαι.* Man erwartet *γενέσθαι*, oder *γεγενῆσθαι* wie es auch in der dieser Stelle sehr ähnlichen 8, 101 heifst: *εἰ φαίη τότε τὴν ἀρχὴν αὐτοῖς γεγενῆσθαι τῶν συμφορῶν, ὅτε τὴν ἀρχὴν τῆς θαλάττης παρελάμβανον.* [cf. Krit. Anh.]; aber *γίγνεσθαι* ist Infinitiv Imperf. (= *ὅτι ἐγίγνετο* —, *ὅτε ἐλάμβανον*), in welchem Sinne der Infin. Praes. nach den Verbis dicendi und putandi sehr häufig von einer vergangenen Handlung steht; s. Xenoph. Anab. 1, 6, 5 *ἔφη δὲ Κῦρον ἄρχειν τοῦ λόγου ὧδε*, und Stallbaum ad Plat. Symp. p. 172 B., Maetzner ad Dinarch. p. 147. Vergl. auch Isokr. 6, 98 *δόξομεν τὸν παρελθόντα χρόνον ἀλαζονεύεσθαι καὶ τὴν φύσιν ὅμοιοι τοῖς ἄλλοις εἶναι.* — 61, 6. *ἀντίστροφα κ. τ. λ.* lieferte das Gegenstück dazu. Vergl. 15, 182 *διττὰς ἐπιμελείας κατέλιπον ἡμῖν — ἀντιστρόφους καὶ σύζυγας καὶ σφίσιν αὐταῖς ὁμολογουμένας*, und Stallbaum ad Plat. Timae. p. 87 C. — Über Konons Thaten vergl. auch Isokr. 9, 52 seqq.

63, 5. *τὰ πλείω* ist anders gedacht als 17, 34 (und Lys. 16, 9) *οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν.* Jenes ist: „das Weitere, dessen noch viel mehr ist," in welchem Sinne *τί δεῖ τὰ πολλὰ λέγειν* häufiger ist; vergl. 17, 23 und Wyttenb. ad Iulian. p. 142 Lips. — 63, 6. *περὶ Ῥόδον.* S. zu 4, 142. — *καὶ* [cf. Krit. Anh.] verbindet ein construiertes und ein absolutes Particip. S. zu 9, 55. — 63, 7. *νικήσας*, bei Knidos, 394 v. Chr.

64 *ἀρχῆς, τοὺς δ' Ἕλληνας ἠλευθέρωσεν, οὐ μόνον δὲ τὰ τείχη*
τῆς πατρίδος ἀνώρθωσεν ἀλλὰ καὶ τὴν πόλιν εἰς τὴν αὐτὴν
δόξαν προήγαγεν, ἐξ ἧσπερ ἐξέπεσεν. καίτοι τίς ἂν προσε-
δόκησεν ὑπ' ἀνδρὸς οὕτω ταπεινῶς πράξαντος ἀναστραφή-
σεσθαι τὰ τῆς Ἑλλάδος πράγματα, καὶ τὰς μὲν ἀτιμωθήσε-
σθαι, τὰς δ' ἐπιπολάσειν τῶν Ἑλληνίδων πόλεων;
65 (κϛ'.) *Διονύσιος τοίνυν (βούλομαι γάρ ἐκ πολλῶν σε*
πεισθῆναι ῥᾳδίαν εἶναι τὴν πρᾶξιν, ἐφ' ἥν σε τυγχάνω πα- b
ρακαλῶν) πολλοστὸς ὢν Συρακοσίων καὶ τῷ γένει καὶ τῇ
δόξῃ καὶ τοῖς ἄλλοις ἅπασιν, ἐπιθυμήσας μοναρχίας ἀλόγως
καὶ μανικῶς, καὶ τολμήσας ἅπαντα πράττειν τὰ φέροντα
πρὸς τὴν δύναμιν ταύτην, κατέσχε μὲν Συρακούσας, ἁπάσας
δὲ τὰς ἐν Σικελίᾳ πόλεις, ὅσαι περ ἦσαν Ἑλληνίδες, κατε-
στρέψατο, τηλικαύτην δὲ δύναμιν περιεβάλετο καὶ πεζὴν καὶ
ναυτικήν, ὅσην οὐδεὶς ἀνὴρ τῶν πρὸ ἐκείνου γενομένων. c
66 (κζ'.) *Ἔτι τοίνυν Κῦρος (ἵνα μνησθῶμεν καὶ περὶ τῶν βαρ-*
βάρων) ἐκτεθεὶς μὲν ὑπὸ τῆς μητρὸς εἰς τὴν ὁδόν, ἀναιρε-
θεὶς δ' ὑπὸ Περσίδος γυναικός, εἰς τοσαύτην ἦλθεν μεταβολὴν
ὥσθ' ἁπάσης τῆς Ἀσίας γενέσθαι δεσπότης.

64, 2. *ἀνώρθωσεν.* S. Xenoph. Hellen. 4, 8, 9 u. 12. — **64, 5.** *ἀτιμωθήσεσθαι.* [cf. Krit. Anh.] Da Isokr. nicht selten (cf. zu **4, 178**) die hier verstandene Hegemonie der Lakedaimonier *τιμή* nennt, so wird auch *ἀτιμοῦν* von der Entreifsung dieser Hegemonie gesagt werden können. Als Gegensatz dazu gebraucht Isokr. von dem Gewinnen der Hegemonie *ἐπιπολάζειν* auch 8, 107. Dafs aber Isokr. in Gegensätzen nicht immer bei einem Bilde bleibe, das lehrt aufser vielen anderen Stellen gleich § **68** *κατορθώσας — διαμαρτών*, oder § **82** *θείην ἂν ἐμαυτὸν οὐκ ἐν τοῖς ἀπολελειμμένοις ἀλλ' ἐν τοῖς προέχουσι τῶν ἄλλων*, und es ist natürlich, da man bei vielen gangbar gewordenen bildlichen Ausdrücken der ursprünglichen Bedeutung sich nicht mehr jedesmal klar bewufst ist.

65, 1. *Διονύσιος*, der Ältere, welcher von 406—367 herrschte. — **65, 3.** *πολλοστός*, ganz unbedeutend (= *ἔσχατος*), ist von Personen in diesem Sinne gebraucht erst aus ganz später Gräcität wieder nachweisbar, häufig dagegen ist *πολλοστὸν μέρος* (Isokr. 13, 4). Dionys war der Sohn eines Eseltreibers und bekleidete zuerst einen Schreiberposten; s. Wesseling ad Diodor. 13, 96. — **65, 5.** *φέροντα*, wie 8, 28 *οὐκ εἰδέναι τὰς πράξεις τὰς ἐπὶ ταῦτα φερούσας*, und 15, 269 *τῶν πράξεων τὰς μηδὲν πρὸς τὸν βίον φερούσας ἀναιρεῖν*. — **65, 8.** *δύναμιν.* Er hatte seine Flotte einmal bis auf 310 Schiffe (Diodor. 14, 42) gebracht, und die Stärke seines Heeres schwankt bei seinen einzelnen Unternehmungen zwischen 20,000 und 80,000 Fufssoldaten (Diodor. 13, 109. 14, 47, 100, 103. 15, 73).

66, 1. *περί.* S. zu **9, 12.** — **66, 2.** *μητρός.* Vergl. § **132.** Anders erzählt Herod. 1, 108 seqq., von dessen Darstellung der Geschichte des Kyros Isokr. auch sonst abweicht; vergl. zu **9, 38.**

67 (κη΄.) Ὅπου δ' Ἀλκιβιάδης μὲν φυγὰς ὤν, Κόνων δὲ
δεδυστυχηκώς, Διονύσιος δ' οὐκ ἔνδοξος ὤν, Κῦρος δ' οὕ-
τως οἰκτρᾶς αὐτῷ τῆς ἐξ ἀρχῆς γενέσεως ὑπαρξάσης, εἰς d
τοσοῦτον προῆλθον καὶ τηλικαῦτα διεπράξαντο, πῶς οὐ σέ γε
χρὴ προσδοκᾶν, τὸν ἐκ τοιούτων μὲν γεγονότα, Μακεδονίας
δὲ βασιλεύοντα, τοσούτων δὲ κύριον ὄντα, ῥᾳδίως τὰ προει-
ρημένα συστήσειν;
68 (κθ΄.) Σκέψαι δ' ὡς ἄξιόν ἐστιν τοῖς τοιούτοις τῶν ἔργων
μάλιστ' ἐπιχειρεῖν, ἐν οἷς κατορθώσας μὲν ἐνάμιλλον τὴν
σαυτοῦ δόξαν καταστήσεις τοῖς πρωτεύσασιν, διαμαρτὼν δὲ
τῆς προσδοκίας ἀλλ' οὖν τήν γ' εὔνοιαν κτήσει τὴν παρὰ τῶν
Ἑλλήνων, ἣν πολὺ κάλλιόν ἐστιν λαβεῖν ἢ πολλὰς πόλεις τῶν
Ἑλληνίδων κατὰ κράτος ἑλεῖν· τὰ μὲν γὰρ τοιαῦτα τῶν ἔρ- e
γων φθόνον ἔχει καὶ δυσμένειαν καὶ πολλὰς βλασφημίας,
οἷς δ' ἡμεῖς συμβεβουλεύκαμεν οὐδὲν πρόσεστι τούτων. ἀλλ'
εἴ τις θεῶν αἵρεσίν σοι δοίη, μετὰ ποίας ἂν ἐπιμελείας καὶ
διατριβῆς εὔξαιο τὸν βίον διαγαγεῖν, οὐδεμίαν ἕλοι' ἄν, 96
69 εἴπερ ἐμοὶ συμβούλῳ χρῷο, μᾶλλον ἢ ταύτην. οὐ γὰρ μόνον
ὑπὸ τῶν ἄλλων ἔσει ζηλωτός, ἀλλὰ καὶ σαυτὸν μακαριεῖς.
τίς γὰρ ἂν ὑπερβολὴ γένοιτο τῆς τοιαύτης εὐδαιμονίας, ὅταν
πρέσβεις μὲν ἥκωσιν ἐκ τῶν μεγίστων πόλεων οἱ μάλιστ' εὐ-
δοκιμοῦντες εἰς τὴν σὴν δυναστείαν, μετὰ δὲ τούτων βου-
λεύῃ περὶ τῆς κοινῆς σωτηρίας, περὶ ἧς οὐδεὶς ἄλλος φανή-
70 σεται τοιαύτην πρόνοιαν πεποιημένος, αἰσθάνῃ δὲ τὴν Ἑλ- b
λάδα πᾶσαν ὀρθὴν οὖσαν ἐφ' οἷς σὺ τυγχάνεις εἰσηγούμενος,

67, 1. ὅπου — πῶς. S. zu 1, 49. — 67, 3. τῆς ἐξ ἀρχῆς γενέσεως, der Beginn seines Daseins. Der stark pleonastische Ausdruck kehrt wieder bei Aristoteles, der ἡ ἐξ ἀρχῆς γένεσις vom Meere und von den Winden gebraucht (s. Vater, Rer. Andocid. I p. 34). Vergl. auch Phot. Bibl. 261 p. 488 Bekk. ἀρχὴν αὐτῷ τῆς γενέσεως γενέσθαι ἢ καὶ ὁ Ὀλυμπιάδα, und Philostrat. Ep. 4 Kays. λέγεται τῷ ῥόδῳ τὴν πρώτην γένεσιν ἐκ λυπηροτάτης ἄρξασθαι προφάσεως.

§ 68—82. *Du wirst aber auch, gelingt Dir die Versöhnung, die Liebe der Hellenen und eine beneidenswerte Stellung unter ihnen erringen* (68—71), *und die Beschuldigung widerlegen, als schmiedetest Du Pläne gegen Hellas; diese Beschuldigung darf Dir nicht gleichgültig sein* (72—80), *und darum habe ich darüber zu Dir mit jenem Freimut gesprochen, mit dem Ratschläge zu erteilen ich mich berufen fühle* (81, 82).

68, 2. κατορθώσας — διαμαρτών. S. zu 7, 72. — ἐνάμιλλον τὴν σαυτοῦ δόξαν καταστήσεις wie 10, 23. — 68, 4. ἀλλ' οὖν — γε. S. zu 4, 171.

69, 5. δυναστείαν, Reich, eine seltene Bedeutung, in welcher ἀρχή bei den Attikern so häufig ist.

70, 2. ὀρθήν, gespannt, wie

μηδεὶς δ' ὀλιγώρως ἔχῃ τῶν παρὰ σοὶ βραβευομένων, ἀλλ' οἱ μὲν πυνθάνωνται περὶ αὐτῶν ἐν οἷς ἐστίν, οἱ δ' εὔχωνταί σε μὴ διαμαρτεῖν ὧν ἐπεθύμησας, οἱ δὲ δεδίωσιν, μὴ πρότερόν τι πάθῃς, πρὶν τέλος ἐπιθεῖναι τοῖς πραττομένοις;
71 *ὧν γιγνομένων πῶς οὐκ ἂν εἰκότως μέγα φρονοίης; πῶς δ' οὐκ ἂν περιχαρὴς ὢν τὸν βίον διατελοίης, τηλικούτων εἰ-* c
δὼς σαυτὸν πραγμάτων ἐπιστάτην γεγενημένον; τίς δ' οὐκ ἂν τῶν καὶ μετρίως λογιζομένων ταύτας ἄν σοι παραινέσειεν μάλιστα προαιρεῖσθαι τῶν πράξεων τὰς ἀμφότερα φέρειν ἅμα δυναμένας ὥσπερ καρπούς, ἡδονάς θ' ὑπερβαλλούσας καὶ τιμὰς μεγίστας;

72 (λ'.) *Ἀπέχρη δ' ἂν ἤδη μοι τὰ προειρημένα περὶ τούτων,* d
εἰ μὴ παραλελοιπὼς ἦν τινα λόγον, οὐκ ἀμνημονήσας ἀλλ' ὀκνήσας εἰπεῖν, ὃν ἤδη μοι δοκῶ δηλώσειν· οἶμαι γάρ σοί τε συμφέρειν ἀκοῦσαι περὶ αὐτῶν, ἐμοί τε προσήκειν μετὰ παρρησίας, ὥσπερ εἴθισμαι, ποιεῖσθαι τοὺς λόγους.

73 (λα'.) *Αἰσθάνομαι γάρ σε διαβαλλόμενον ὑπὸ τῶν σοὶ μὲν φθονούντων, τὰς δὲ πόλεις τὰς αὑτῶν εἰθισμένων εἰς ταραχὰς καθιστάναι, καὶ τὴν εἰρήνην τὴν τοῖς ἄλλοις κοινὴν*

Polyb. 28, 15 *ὀρθοὶ καὶ μετέωροι ταῖς διανοίαις ἐγενήθησαν οἱ Ῥόδιοι πάντες*, häufiger von ängstlicher Erwartung, wie Isokr. 16, 7 *ὀρθῆς τῆς πόλεως γενομένης διὰ τὸ μέγεθος τῶν αἰτιῶν*. Vergl. Maetzner ad Lykurg. p. 149. — 70, 3. *παρὰ σοὶ βραβ.*, bei Dir entschieden wird. S. zu 7, 23. — 70, 4. *ἐν οἷς ἐστίν*, nach dem Stadium, in welchem es sich befindet. Vergl. Sophokl. Antig. 39 *τί δ', ὦ ταλαῖφρον, εἰ τάδ' ἐν τούτοις, ἐγὼ — προσθείμην πλέον;* — 70, 5. *μὴ πρότερόν τι πάθῃς* euphemistisch für „dafs du fr. stürbest“ wie 17, 6 *εἴ τι πάθοι ἐκεῖνος* und Isae. 1, 4. Demosth. 4, 12. 23, 12 S. Rehdantz Demosth. Ind.[1] p. 170. Bei Cic. Tusc. 1, 43, 5 „si quid accidisset.“

71, 7. *μεγίστας* cf. Krit. Anh.

72, 2. *λόγον*, Punkt. S. zu 7, 74. — 72, 3. *μοὶ δοκῶ*, ich gedenke, mit dem Infinit. Futuri wie Plat. Theaet. p. 183 D *ἀλλά μοι δοκῶ — οὐ πείσεσθαι αὐτῷ*, aber auch mit dem Inf. Praes. Vgl. Ast ad Plat. Phaedr. p. 235. Anders Isokr. 12, 232 *οὐ μετρίως ἐδόκουν μοι διειλέχθαι*. 19, 43 *οὐ μέντ' ἄν μοι δοκῶ φυγεῖν*. — 72, 4. *περὶ αὐτῶν*, auf *λόγος* bezogen. Ganz ähnlich 12, 231 *ὑπέβαλον τὸν λόγον . . . . τριῶν γὰρ ἡμερῶν διαλειφθεισῶν ἀναγιγνώσκων αὐτά κ. τ. λ.* Vergl. auch 15, 271 *προσήκει τὴν δικαίως ἂν νομιζομένην (φιλοσοφίαν) ὁρίσαι καὶ δηλῶσαι πρὸς ὑμᾶς. ἁπλῶς δέ πως τυγχάνω γιγνώσκων περὶ αὐτῶν.* S. auch zu 1, 38.

73, 2. *φθονούντων*. Isokr. denkt wohl vorzugsweise an Demosthenes, dessen Politik der des Isokr. geradezu entgegengesetzt war. — 73, 3. *κοινήν*, der im Interesse aller ist; *τοῖς ἀ. ἰδίοις*, ihren Sonderinteressen; vergl. (Demost.) 12, 19 *φασὶ — τὴν μὲν εἰρήνην πόλεμον αὐτοῖς εἶναι, τὸν δὲ πόλεμον εἰρήνην, ἢ γὰρ συναγωνιζομένους τοῖς στρατηγοῖς ἢ συκοφαντοῦντας*

πόλεμον τοῖς αὐτῶν ἰδίοις εἶναι νομιζόντων, οἳ πάντων τῶν e
ἄλλων ἀμελήσαντες περὶ τῆς σῆς δυνάμεως λέγουσιν, ὡς οὐχ
ὑπὲρ τῆς Ἑλλάδος ἀλλ' ἐπὶ ταύτην αὐξάνεται, καὶ σὺ πολὺν
74 *χρόνον ἤδη πᾶσιν ἡμῖν ἐπιβουλεύεις, καί λόγῳ μὲν μέλλεις*
Μεσσηνίοις βοηθεῖν, ἐὰν τὰ περὶ Φωκέας διοικήσῃς, ἔργῳ δ'
ὑπὸ σαυτῷ ποιεῖσθαι Πελοπόννησον· ὑπάρχουσι δέ σοι Θετ- 97
ταλοὶ μὲν καὶ Θηβαῖοι καὶ πάντες οἱ τῆς Ἀμφικτυονίας μετέ-
χοντες ἕτοιμοι συνακολουθεῖν, Ἀργεῖοι δὲ καὶ Μεσσήνιοι καὶ
Μεγαλοπολῖται καὶ τῶν ἄλλων πολλοὶ συμπολεμεῖν καὶ
ποιεῖν ἀναστάτους Λακεδαιμονίους· ἣν δὲ ταῦτα πράξῃς, ὡς
75 *καὶ τῶν ἄλλων Ἑλλήνων ῥᾳδίως κρατήσεις. ταῦτα φλυαροῦν-*
τες καὶ φάσκοντες ἀκριβῶς εἰδέναι καὶ ταχέως ἅπαντα τῷ b
λόγῳ καταστρεφόμενοι πολλοὺς πείθουσιν, καὶ μάλιστα μὲν
τοὺς τῶν αὐτῶν κακῶν ἐπιθυμοῦντας ὧνπερ οἱ λογοποιοῦντες,
ἔπειτα καὶ τοὺς οὐδενὶ λογισμῷ χρωμένους ὑπὲρ τῶν κοινῶν,
ἀλλὰ παντάπασιν ἀναισθήτως διακειμένους καὶ πολλὴν χάριν
ἔχοντας τοῖς ὑπὲρ αὐτῶν φοβεῖσθαι καὶ δεδιέναι προσποιου-

ἀεί τι λαμβάνειν παρ' αὐτῶν, ἔτι δὲ τῶν πολιτῶν τοῖς γνωριμωτάτοις καὶ τῶν ἔξωθεν τοῖς ἐνδοξοτάτοις λοιδορουμένους ἐπὶ τοῦ βήματος, περιποιεῖσθαι παρὰ τοῦ πλήθους δόξαν ὡς εἰσὶ δημοτικοί. — 73, 6. *πολὺν χρόνον ἤδη*. Isokr. sagt sonst *πολὺν ἤδη χρόνον* 4, 162. 8, 30, 36. 10, 4. 15, 285. Ep. 9, 11.

74, 2. *Μεσσηνίοις*. Vergl. Demosth. 6, 13 (*Φίλιππος*) *Μεσσήνην Λακεδαιμονίους ἀφιέναι κελεύων.* Die Aussicht darauf hatte Philipp den Messeniern wahrscheinlich eröffnet, als nach seinem Thrakischen Feldzuge 346 v. Chr. Gesandte fast aller griechischen Staaten an seinem Hofe sich einfanden. — 74, 3. *Θετταλοί*. S. § 20. — 74, 4. *Θηβαῖοι*. S. zu § 55. — *Ἀμφικτυονίας*. Zu den zwölf zum Amphiktyonenbunde vereinigten Staaten (cf. Hermanns Staatsaltert. § 12, Schoemann Antiquit. publ. p. 387 Gilbert Staatsaltert. II, p. 408) gehörten auch die Thessalier und Thebaner, *πάντες* steht also auch hier (s. zu 4, 98) für *οἱ ἄλλοι πάντες*. Die Mitglieder des Bundes standen auf Philipps Seite, weil er ihre Gegner, die tempelräuberischen Phokier, bekriegte; s. Diodor. 16, 35 seqq. — 74, 5. *Ἀργεῖοι κ. τ. λ.* s. zu § 49.

75, 3. *καταστρεφόμενοι*, (Dich) alles niederwerfen lassen, ist nach jenem Sprachgebrauche gesagt, wonach das, was ein Schriftsteller erzählt, als von ihm selbst ausgeführt dargestellt wird. Vergl. Horat. Sat. 1, 10 36 *Turgidus Alpinus jugulat dum Memnona* (i. e. *Memnona iugulatum narrat*). Thuk. 1, 5, 2 *οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες εἰ λῃσταί εἰσιν.* Vergl. Bernhardy ad Dionys. Perieg. p. 844. Auch hier erwartet man eigentlich noch ein verb. dicendi; s. zu 4, 23. — 75, 4. *λογοποιοῦντες*, hier wie überall mit dem Nebenbegriff des unbegründeten Geredes; vergl. 11, 38 und 15, 136. — 75, 5. *ἔπειτα καὶ* ohne *δέ* S. zu 9, 42. — 75, 6. *ἀναισθήτως*, stumpfsinnig, wie 12, 85, 112. 13, 9. — 75, 7. *φοβεῖσθαι καὶ δεδιέναι* ver-

*μένοις, ἔτι δὲ τοὺς οὐκ ἀποδοκιμάζοντας τὸ δοκεῖν ἐπιβου-
λεύειν σε τοῖς Ἕλλησιν ἀλλὰ τὴν αἰτίαν ταύτην ἀξίαν ἐπιθυ-* c
76 *μίας εἶναι νομίζοντας· οἳ τοσοῦτον ἀφεστᾶσι τοῦ νοῦν ἔχειν,
ὥστ' οὐκ ἴσασιν, ὅτι τοῖς αὐτοῖς ἄν τις λόγοις χρώμενος
τοὺς μὲν βλάψειεν, τοὺς δ' ὠφελήσειεν. οἷον καὶ νῦν, εἰ μέν
τις φαίη τὸν τῆς Ἀσίας βασιλέα τοῖς Ἕλλησιν ἐπιβουλεύειν
καὶ παρεσκευάσθαι στρατεύειν ἐφ' ἡμᾶς, οὐδὲν ἂν λέγοι περὶ
αὐτοῦ φλαῦρον ἀλλ' ἀνδρωδέστερον αὐτὸν καὶ πλείονος ἄξιον
δοκεῖν εἶναι ποιήσειεν· εἰ δὲ τῶν ἀφ' Ἡρακλέους τινὶ πεφυ-
κότων, ὃς ἁπάσης κατέστη τῆς Ἑλλάδος εὐεργέτης, ἐπιφέροι
τὴν αἰτίαν ταύτην, εἰς τὴν μεγίστην αἰσχύνην ἂν αὐτὸν* d
77 *καταστήσειεν. τίς γὰρ οὐκ ἂν ἀγανακτήσειε καὶ μισήσειεν, εἰ
φαίνοιτο τούτοις ἐπιβουλεύων, ὑπὲρ ὧν ὁ πρόγονος αὐτοῦ
προείλετο κινδυνεύειν, καὶ τὴν μὲν εὔνοιαν, ἣν ἐκεῖνος κατέ-
λιπεν τοῖς ἐξ αὐτοῦ γεγενημένοις, μὴ πειρῷτο διαφυλάττειν,
ἀμελήσας δὲ τούτων ἐπονειδίστων ἐπιθυμοίη καὶ πονηρῶν
πραγμάτων;*

78 *(λβ'.) Ὧν ἐνθυμούμενον χρὴ μὴ περιορᾶν τοιαύτην φή-* e
*μην σαυτῷ περιφυομένην, ἣν οἱ μὲν ἐχθροὶ περιθεῖναί σοι
ζητοῦσιν, τῶν δὲ φίλων οὐδεὶς ὅστις οὐκ ἂν ἀντειπεῖν ὑπὲρ
σοῦ τολμήσειεν. καίτοι περὶ τῶν σοὶ συμφερόντων ἐν ταῖς
τούτων ἀμφοτέρων γνώμαις μάλιστ' ἂν κατίδοις τὴν ἀλή-
θειαν.*

79 *(λγ'.) Ἴσως οὖν ὑπολαμβάνεις μικροψυχίαν εἶναι τὸ τῶν*

bunden auch 12, 48. — 75, 8. *οὐκ ἀποδ.*, nicht leugnen, daſs es scheine. — 75, 9. *τὴν αἰτίαν ταύτην*, das, was man Dir damit Schuld giebt.

76, 1. *ἀφεστᾶσι*, statt des gewöhnlicheren *ἀπέχουσι*. S. zu 7, 31. — 76, 2. *λόγοις*, welche eine Anschuldigung jemandes enthalten, also im Sinne von *ψόγοις*. — 76, 7. *τῶν — τινὶ πεφυκότων*. Diese Herodoteische Stellung des Indefinitums zwischen Artikel und Substantiv seines Genetiv. part. findet sich bei den Attikern nicht leicht anders als so, daſs zum Artikel noch ein Attribut hinzutritt; vergl. Kühner zu Xenoph. Anab. 2, 5, 32. Über andere cf. Rehdantz Demosth. Ind.² p. 287. Schäfer ad Longi Pastor. p. 363. Ellendt ad Arrian Anab. 7, 3, 6.

77, 4. *ἐξ αὐτοῦ γεγ.*, neben *ἀφ' Ἡρακλέους πεφυκότων* s. zu 4, 62.

78, 1. *χρή*, nämlich *σέ*, wie § 79 und 92. Vergl. zu 9, 81. — 78, 3. *τῶν δὲ φίλων*, welchem dagegen jeder — zu Deinen Gunsten zu widersprechen wünscht. Über das fehlende Relativ *ᾗ* vergl. zu 4, 151. — 78, 5. *ἀμφοτέρων*. Hierauf ruht der Nachdruck; denn der Sinn ist: willst Du Deinen wahren Vorteil erkennen, so muſst Du nicht bloſs auf das Urteil Deiner Freunde, sondern auch auf das Deiner Feinde hören.

βλασφημούντων καὶ φλυαρούντων καὶ τῶν πειθομένων τού- 98
τοις φροντίζειν, ἄλλως θ' ὅταν καὶ μηδὲν σαυτῷ συνειδῇς
ἐξαμαρτάνων. χρὴ δὲ μὴ καταφρονεῖν τοῦ πλήθους, μηδὲ
παρὰ μικρὸν ἡγεῖσθαι τὸ παρὰ πᾶσιν εὐδοκιμεῖν, ἀλλὰ τότε
νομίζειν καλὴν ἔχειν καὶ μεγάλην τὴν δόξαν καὶ πρέπουσαν
80 *σοὶ καὶ τοῖς σοῖς προγόνοις καὶ τοῖς ὑφ' ὑμῶν πεπραγμένοις, ὅταν*
οὕτω διαθῇς τοὺς Ἕλληνας, ὥσπερ ὁρᾷς Λακεδαιμονίους τε b
πρὸς τοὺς αὑτῶν βασιλέας ἔχοντας τούς θ' ἑταίρους τοὺς
σοὺς πρὸς σὲ διακειμένους. ἔστιν δ' οὐ χαλεπὸν τυχεῖν τού-
των, ἢν ἐθελήσῃς κοινὸς ἅπασιν γενέσθαι, καὶ παύσῃ ταῖς
μὲν τῶν πόλεων οἰκείως ἔχων, πρὸς δὲ τὰς ἀλλοτρίως δια-
κείμενος, ἔτι δ' ἢν τὰ τοιαῦτα προαιρῇ πράττειν, ἐξ ὧν τοῖς
μὲν Ἕλλησιν ἔσει πιστός, τοῖς δὲ βαρβάροις φοβερός.
81 (*λδ'.*) *Καὶ μὴ θαυμάσῃς (ἅπερ ἐπέστειλα καὶ πρὸς Διο-* c
νύσιον τὸν τὴν τυραννίδα κτησάμενον), εἰ μήτε στρατηγὸς ὢν μήτε ῥήτωρ μήτ' ἄλλως δυνάστης θρασύτερόν σοι διείλεγμαι τῶν ἄλλων. ἐγὼ γὰρ πρὸς μὲν τὸ πολιτεύεσθαι πάντων ἀφυέστατος ἐγενόμην τῶν πολιτῶν (οὔτε γὰρ φωνὴν ἔσχον ἱκανὴν οὔτε τόλμαν δυναμένην ὄχλῳ χρῆσθαι καὶ μολύνεσθαι καὶ λοιδορεῖσθαι τοῖς ἐπὶ τοῦ βήματος καλινδουμέ-

79, 3. *ἄλλως θ' ὅταν καί.* S. zu 4, 66. — 79, 5. *παρὰ μικρόν.* S. zu 4, 59.

80, 2. *Λακεδαιμονίους.* Vgl. Ep. 2, 6 *ἴδοις ἂν Λακεδαιμονίους περὶ τῆς τῶν βασιλέων σωτηρίας πολλὴν ἐπιμέλειαν ποιουμένους καὶ τοὺς ἐνδοξοτάτους τῶν πολιτῶν φύλακας αὐτῶν καθιστάντας, οἷς αἴσχιόν ἐστιν ἐκείνους τελευτήσαντας περιιδεῖν ἢ τὰς ἀσπίδας ἀποβαλεῖν,* und 8, 142 seq. — 80, 5. *κοινός,* allen gehören, indem Du Deine Sorgfalt auf alle gleichmäſsig erstreckst. Ähnlich 1, 10 *ἦν τοῖς φίλοις κοινός.* — 80, 8. *πιστός — φοβερός.* Vergl. 7, 51 *παρεῖχον σφᾶς αὐτοὺς τοῖς μὲν Ἕλλησι πιστούς, τοῖς δὲ βαρβάροις φοβερούς.* S. zu 4, 142.

81, 1. *ἐπέστειλα.* Vergl. Ep. 1, 9 *μὴ θαυμάσῃς, εἰ μήτε δημηγορῶν μήτε στρατηγῶν μήτ' ἄλλως δυνάστης ὢν οὕτως ἐμβριθὲς αἴρομαι πρᾶγμα καὶ δυοῖν ἐπιχειρῶ τοῖν μεγίστοιν, ὑπέρ τε τῆς Ἑλλάδος λέγειν καὶ σοὶ συμβουλεύειν.* — 81, 2. *κτησάμενον* hat den Nachdruck, weil an den älteren Dionys gedacht werden soll, im Gegensatz zu dem jüngeren jetzt regierenden. — 81, 3. *δυνάστης,* was sonst *πράττειν δυνάμενος.* S. zu 4, 188. — 81, 5. *ἀφυέστατος.* Vergl. 12, 10 *ἐνδεὴς ἀμφοτέρων ἐγενόμην τῶν μεγίστην δύναμιν ἐχόντων παρ' ἡμῖν, φωνῆς ἱκανῆς καὶ τόλμης.* S. auch Ep. 8, 7 und Dionys. Halic. iudic. de Isocr. *ὡς δὲ ἡ φύσις ἠναντιοῦτο, τὰ πρῶτα καὶ κυριώτατα τοῦ ῥήτορος ἀφελομένη, τόλμαν καὶ φωνῆς μέγεθος κ. τ. λ.* Plin. Ep. 6, 29, 6 Isocrati . . . quod infirmitate vocis, mollitia frontis, ne in publico diceret, impediebatur. — 81, 6. *χρῆσθαι,* zu verkehren. S. zu 1, 20. — 81, 7. *καλινδουμένοις* wie 13, 20 *περὶ τὰς ἔριδας καλινδούμενοι* (neben *περὶ τὰς ἔ. δια-*

82 νοις), τοῦ δὲ φρονεῖν εὖ καὶ πεπαιδεῦσθαι καλῶς, εἰ καί τις d
ἀγροικότερον εἶναι φήσει τὸ ῥηθέν, ἀμφισβητῶ, καὶ θείην
ἂν ἐμαυτὸν οὐκ ἐν τοῖς ἀπολελειμμένοις ἀλλ' ἐν τοῖς προέ-
χουσι τῶν ἄλλων. διόπερ ἐπιχειρῶ συμβουλεύειν τὸν τρόπον
τοῦτον, ὃν ἐγὼ πέφυκα καὶ δύναμαι, καὶ τῇ πόλει καὶ τοῖς
Ἕλλησιν καὶ τῶν ἀνδρῶν τοῖς ἐνδοξοτάτοις.

83 (λε'.) Περὶ μὲν οὖν τῶν ἐμῶν καὶ ὧν σοὶ πρακτέον ἐστὶν
πρὸς τοὺς Ἕλληνας σχεδόν ἀκήκοας, περὶ δὲ τῆς στρατείας
τῆς εἰς τὴν Ἀσίαν ταῖς μὲν πόλεσιν, ἅς ἔφην χρῆναί σε διαλ- e
λάττειν, τότε συμβουλεύσομεν, ὡς χρὴ πολεμεῖν πρὸς τοὺς
βαρβάρους, ὅταν ἴδωμεν αὐτὰς ὁμονοούσας, πρὸς σὲ δὲ νῦν
ποιήσομαι τοὺς λόγους, οὐ τὴν αὐτὴν ἔχων διάνοιαν καὶ
κατ' ἐκείνην τὴν ἡλικίαν, ὅτ' ἔγραφον περὶ τὴν αὐτὴν ὑπό- 99

τρίβοντες 13, 1), und 15, 30 περὶ τὰ δικαστήρια καλινδούμενοι, und so oft im übertragenen Sinne und mit tadelnder Färbung, wie die verwandten κυλινδεῖσθαι (Stallbaum ad Plat. Phaedo. p. 82 E), ἀλινδεῖσθαι und εἰλινδεῖσθαι. S. Schoemann ad Plut. Agin p. 100.

82, 2. ἀγροικότερον, zu wenig höflich, oft so im Komparativ mit εἰπεῖν verbunden; vergl. Stallbaum ad Plat. Gorg. p. 462 E und ad Kriti. p. 107 A. — ἀμφισβητῶ. S. zu **4, 188.**

§ 83—105 med. *Zweitens rate ich Dir, wenn auch nicht mit dem Selbstgefühl, mit dem ich im Panegyrikos redete* (83—85), *Persien anzugreifen, aber nicht eher als bis Du alle Hellenen versöhnt und dafür gewonnen hast; denn daſs ohne diese Bedingung der Krieg erfolglos sein würde, lehrt das Beispiel des Agesilaos* (86—88). *Im entgegengesetzten Falle aber darfst Du auf einen günstigen Erfolg hoffen nach dem Vorgange des Kyros und Klearch* (89—92), *wie ich das schon im Panegyrikos gezeigt habe* (93, 94), *und Du wirst um so eher glücklich sein als sie, weil Deine Lage eine günstigere ist als die ihrige* (95—98) *und weil die Lage des Perserkönigs jetzt noch weniger günstig erscheint als zu den Zeiten des Kyros und Klearch* (99—104). *Ratschläge über die beste Art der Kriegführung Dir zu geben enthalte ich mich billigerweise* (105).

83, 1. ὧν i. e. περί τούτων ἅ. Strange in Jahns Jahrb. Suppl. IV (1836) S. 364 citiert Demosth. 9, 31 ὑπὲρ Φιλίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν, und Thuk. 5, 87 ἐκ τῶν παρόντων καὶ ὧν ὁρᾶτε. [cf. Krit. Anh.]. — 83, 2. σχεδὸν, nicht = *paene,* sondern = *fere,* so ziemlich. Vergl. Isokr. 19, 42 σχεδὸν ἀκηκόατε. Demosth. 3, 36 σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν. S. Haase ad Xenoph. Resp. Lac. p. 118 Stallbaum ad Plat. Alkib. I p. 103 B. Rehdantz Demosth. Ind.[2] p. 283. — 83, 6. τὴν αὐτὴν ἐ. δ. καί. Man erwartet νῦν καί, doch νῦν ergiebt sich aus dem Zusammenhange von selbst. Ähnlich schon Homer Il. 14, 132 ἄλλους δ' ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ | θυμῷ ἦρα φέροντες ἀφεστᾶσ' οὐδὲ μαχονται, und 22, 373 μαλακώτερος ἀμφιφάασθαι | Ἕκτωρ ἢ ὅτε νῆας ἐνέπρησεν. Thuk. 7, 28, 4 αἱ δαπάναι οὐχ ὁμοίως καὶ πρίν, ἀλλὰ πολλῷ μείζους καθέστασαν. Lys. 12, 2 τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ. — 83, 7. ἔγραφον, im Panegyrikos.

84 *θεσιν ταύτην. τότε μὲν γὰρ παρεκελευόμην τοῖς ἀκουσομέ-*
νοις καταγελᾶν μου καὶ καταφρονεῖν, ἢν μὴ καὶ τῶν πρα-
γμάτων καὶ τῆς δόξης τῆς ἐμαυτοῦ καὶ τοῦ χρόνου τοῦ περὶ
τον λόγον διατριφθέντος ἀξίως φαίνωμαι διεξιών, νῦν δὲ
φοβοῦμαι, μὴ πάντων τῶν προειρημένων πολὺ καταδεέστε-
ρον τύχω διαλεχθείς. καὶ γὰρ πρὸς τοῖς ἄλλοις ὁ λόγος ὁ
πανηγυρικός, ὁ τοὺς ἄλλους τοὺς περὶ τὴν φιλοσοφίαν δια- b
τρίβοντας εὐπορωτέρους ποιήσας, ἐμοὶ πολλὴν ἀπορίαν παρέ-
σχηκεν· οὔτε γὰρ ταὐτὰ βούλομαι λέγειν τοῖς ἐν ἐκείνῳ γε-
85 *γραμμένοις οὔτ' ἔτι καινὰ δύναμαι ζητεῖν. οὐ μὴν ἀποστα-*
τέον ἐστὶν ἀλλὰ λεκτέον, περὶ ὧν ὑπεθέμην, ὅ τι ἂν ὑποπέσῃ
καὶ συμφέρῃ πρὸς τὸ πεῖσαί σε ταῦτα πράττειν. καὶ γὰρ ἢν
ἐλλίπω τι καὶ μὴ δυνηθῶ τὸν αὐτὸν τρόπον γράψαι τοῖς
πρότερον ἐκδεδομένοις, ἀλλ' οὖν ὑπογράψειν γ' οἶμαι χαριέν- c
τως τοῖς ἐξεργάζεσθαι καὶ διαπονεῖν δυναμένοις.

86 (λϛ'.) *Τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου τοῦ σύμπαντος οἶ-*
μαι πεποιῆσθαι ταύτην, ἥνπερ προσήκει τοὺς ἐπὶ τὴν Ἀσίαν
πείθοντας στρατεύειν. δεῖ γὰρ μηδὲν πρότερον πράττειν,
πρὶν ἂν λάβῃ τις τοὺς Ἕλληνας δυοῖν θάτερον, ἢ συναγωνι-
ζομένους ἢ πολλὴν εὔνοιαν ἔχοντας τοῖς πραττομένοις. ὧν
Ἀγησίλαος ὁ δόξας εἶναι Λακεδαιμονίων φρονιμώτατος ὠλι- d
87 *γώρησεν οὐ διὰ κακίαν ἀλλὰ διὰ φιλοτιμίαν. ἔσχεν γὰρ διτ-*
τὰς ἐπιθυμίας, καλὰς μὲν ἀμφοτέρας, οὐ συμφωνούσας δ'
ἀλλήλαις οὐδ' ἅμα πράττεσθαι δυναμένας. προῃρεῖτο γὰρ
βασιλεῖ τε πολεμεῖν καὶ τοὺς ἑταίρους εἰς τὰς πόλεις τὰς αὐ-

84, 1. *παρεκελευόμην.* S. Panegyr. § 14. — 84, 6. *πρὸς τοῖς ἄλλοις*, *praeter reliqua*, wie 6, 88. Isokr. denkt hier wohl an sein hohes Alter; vergl. § 149. — 84, 7. *περὶ τὴν φ. διατρίβοντας.* S. zu 9, 8. — 84, 8. *εὐπορωτέρους*, an Gedanken über dies Thema, welche sie von mir entlehnten; s. § 94.

85, 2. *ὑποπέσῃ*, mir einfällt, eine seltene Bedeutung; vergl. Diogenes Laert. 7, 180 *Χρύσιππος ἐπλήθυνε τὰ συγγράμματα πᾶν τὸ ὑποπεσὸν γράφων.* — 85, 5. *ἀλλ' οὖν — γε* S. zu 4, 171. — *ὑπογράψειν — χαριέντως*, ich werde einen hübschen Entwurf geben, der vollständigen Ausarbeitung (*ἐξεργάζεσθαι, ἀπεργάζεσθαι*) auch sonst entgegengesetzt; s. Stallbaum ad Plat. de republ. VI p. 504 D.

86, 2. *προσήκει.* S. die Begründung im Panegyr. § 15 seq. — 86, 4. *δυοῖν θάτερον.* S. zu 7, 33. Auch der Plural *θάτερα* findet sich in der Phrase; s. Schoemann ad Isae. p. 191. — 86, 7. *κακίαν*, Untauglichkeit.

87, 4. *ἑταίρους*, wohl verbannte Aristokraten der kleinasiatischen Städte. Dafs politische Parteien sich dort befehdeten, lehrt Xenoph. Hellen. 3, 4, 7, dafs Agesilaos sie *δίχα φόνου καὶ φυ-*

τῶν καταγαγεῖν καὶ κυρίους ποιῆσαι τῶν πραγμάτων. συνέβαινεν οὖν ἐκ μὲν τῆς πραγματείας τῆς ὑπὲρ τῶν ἑταίρων ἐν κακοῖς καὶ κινδύνοις εἶναι τοὺς Ἕλληνας, διὰ δὲ τὴν ταραχὴν e
τὴν ἐνθάδε γιγνομένην μὴ σχολὴν ἄγειν μηδὲ δύνασθαι πο-
88 *λεμεῖν τοῖς βαρβάροις. ὥστ᾽ ἐκ τῶν ἀγνοηθέντων κατ᾽ ἐκεῖνον τὸν χρόνον ῥᾴδιον καταμαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς βουλευομένους μὴ πρότερον ἐκφέρειν πρὸς τὸν βασιλέα πόλεμον, πρὶν ἂν διαλλάξῃ τις τοὺς Ἕλληνας καὶ παύσῃ τῆς μανίας τῆς νῦν αὐτοῖς ἐνεστώσης· ἅπερ καὶ σοὶ συμβεβουλευκότες τυγχάνομεν.*

89 (λζ.) *Περὶ μὲν οὖν τούτων οὐδεὶς ἂν ἀντειπεῖν τῶν εὖ φρονούντων τολμήσειεν, οἶμαι δὲ τῶν μὲν ἄλλων εἴ τισιν δόξειε περὶ τῆς στρατείας τῆς εἰς τὴν Ἀσίαν συμβουλεύειν, ἐπὶ ταύτην ἂν ἐπιπεσεῖν τὴν παράκλησιν, λέγοντας, ὡς ὅσοι περ* b
ἐπεχείρησαν πρὸς τὸν βασιλέα πολεμεῖν, ἅπασιν συνέπεσεν ἐξ ἀδόξων μὲν γενέσθαι λαμπροῖς, ἐκ πενήτων δὲ πλουσίοις,
90 *ἐκ ταπεινῶν δὲ πολλῆς χώρας καὶ πόλεων δεσπόταις. ἐγὼ δ᾽ οὐκ ἐκ τῶν τοιούτων μέλλω σε παρακαλεῖν ἀλλ᾽ ἐκ τῶν ἠτυχηκέναι δοξάντων, λέγω δ᾽ ἐκ τῶν μετὰ Κύρου καὶ Κλεάρχου συστρατευσαμένων. ἐκείνους γὰρ ὁμολογεῖται νικῆσαι μὲν μαχομένους ἅπασαν τὴν βασιλέως δύναμιν τοσοῦτον,* c
ὅσον περ ἂν εἰ ταῖς γυναιξὶν αὐτῶν συνέβαλον, ἤδη δ᾽ ἐγκρατεῖς δοκοῦντας εἶναι τῶν πραγμάτων διὰ τὴν Κύρου προπέτειαν ἀτυχῆσαι· περιχαρῆ γὰρ αὐτὸν ὄντα καὶ διώκοντα πολὺ πρὸ τῶν ἄλλων, ἐν μέσοις γενόμενον τοῖς πολε-
91 *μίοις ἀποθανεῖν. ἀλλ᾽ ὅμως τηλικαύτης συμφορᾶς συμπεσού-*

γῆς ἀνθρώπων versöhnte, sagt Plut. Agesil. 15. Übrigens kehrt diese ganze Stelle Epist. 9, 13 seq. wieder. — 87, 5. *κυρίους τῶν πραγμάτων* wie 2, 4. 3, 20. 7, 65. 15, 103 Ep. 9, 13, vgl. *ἐπιστάτην τῶν πραγ.* § 71. **4, 121** und zu **4, 104.**

88, 4. *μανίας.* Deutlicher heiſst es Ep. 9, 14 *τῆς μανίας καὶ φιλονικίας.*

89, 4. *ἐπιπεσεῖν.* Vergl. 15, 169 *εἰσέπεσον εἰς τὸ λογίζεσθαι καὶ σκοπεῖν.* Häufiger ist in diesem Sinne *ἐπιστῆναι.* S. zu § **93.**

90, 3. *λέγω δέ*, ich meine. Vergl. 6, 104 *τὰς πόλεις τάς γε πρωτευούσας, λέγω δὲ τὴν Ἀθηναίων καὶ Θηβαίων*, und 2, 47, ebenso im Particip 12, 215 *ἔλεγεν, ὅτι „σὺ μὲν πεποίησαι τοὺς λόγους,“ ἐμὲ λέγων.* Vergl. Schoemann ad Isae. p. 207 und Strange in Jahns Jahrb. Suppl. III (1834) S. 615. — 90, 4. *νικῆσαι μαχομένους* S. zu **4, 58.** — 90, 6. *ὅσον περ ἄν*, scil. *ἐνίκων.* Vergl. 10, 49 und zu **1, 27.** — 90, 8. *περιχαρῆ γὰρ κ. τ. λ.* S. die ausführliche Schilderung bei Xenoph. Anab. 1, 8, 24.

91, 1. *συμφορᾶς*, das Unglück, daſs den Hellenen mit dem Kyros

*σης οὕτω σφόδρα κατεφρόνησεν ὁ βασιλεὺς τῆς περὶ αὑτὸν
δυνάμεως, ὥστε προκαλεσάμενος Κλέαρχον καὶ τοὺς ἄλλους
ἡγεμόνας εἰς λόγον ἐλθεῖν, καὶ τούτοις μὲν ὑπισχνούμενος
μεγάλας δωρεὰς δώσειν, τοῖς δ' ἄλλοις στρατιώταις ἐντελῆ* d
*τὸν μισθὸν ἀποδοὺς ἀποπέμψειν, τοιαύταις ἐλπίσιν ὑπαγα-
γόμενος καὶ πίστεις δοὺς τῶν ἐκεῖ νομιζομένων τὰς μεγίστας,
συλλαβὼν αὐτοὺς ἀπέκτεινεν, καὶ μᾶλλον εἵλετο περὶ τοὺς
θεοὺς ἐξαμαρτεῖν ἢ τοῖς στρατιώταις οὕτως ἐρήμοις οὖσι*
92 *συμβαλεῖν. (λη'.) Ὥστε τίς ἂν γένοιτο παράκλησις ταύτης
καλλίων καὶ πιστοτέρα; φαίνονται γὰρ κἀκεῖνοι κρατήσαν-
τες ἂν τῶν βασιλέως πραγμάτων, εἰ μὴ διὰ Κῦρον, σοὶ δὲ* e
*τήν τ' ἀτυχίαν τὴν τότε γεγενημένην οὐ χαλεπὸν φυλάξα-
σθαι, τοῦ τε στρατοπέδου τοῦ κρατήσαντος τὴν ἐκείνου δύ-
ναμιν ῥᾴδιον πολὺ κρεῖττον κατασκευάσασθαι. καίτοι τού-
των ἀμφοτέρων ὑπαρξάντων πῶς οὐ χρὴ θαρρεῖν ποιούμενον
τὴν στρατείαν ταύτην;*

93 *(λθ'.) Καὶ μηδεὶς ὑπολάβῃ με βούλεσθαι λαθεῖν ὅτι* 101
*τούτων ἔνια πέφρακα τὸν αὐτὸν τρόπον ὅνπερ πρότερον.
ἐπιστὰς γὰρ ἐπὶ τὰς αὐτὰς διανοίας εἱλόμην μὴ πονεῖν γλι-
χόμενος τὰ δεδηλωμένα καλῶς ἑτέρως εἰπεῖν· καὶ γὰρ εἰ μὲν
ἐπίδειξιν ἐποιούμην, ἐπειρώμην ἂν ἅπαντα τὰ τοιαῦτα δια-*
94 *φεύγειν, σοὶ δὲ συμβουλεύων μωρὸς ἂν ἦν, εἰ περὶ τὴν
λέξιν πλείω χρόνον διέτριβον ἢ περὶ τὰς πράξεις, ἔτι δ' εἰ
τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους αὐτὸς μόνος ἀπειχό-* b

ihr Führer entrissen wurde. S. 4, 146, wo die nämliche Sache behandelt wird; deshalb die Entschuldigung § 93 seq. — 91, 2. *κατεφρόνησεν*, wie 4, 147.

92, 3. *πραγμάτων*. S. zu 4, 138. — *εἰ μὴ διὰ Κῦρον*, wenn Kyros nicht gewesen wäre, sondern statt seiner ein Führer mit gröſserer Besonnenheit an der Spitze gestanden hätte. Ebenso Ep. 2, 8 *Κῦρος κρατήσας ἂν τῶν πραγμάτων, εἰ μὴ διὰ τὴν αὑτοῦ προπέτειαν*, und öfter bei anderen; cf. Weber ad Demosth. Aristokrat. p. 482. Überall ist dort *ἦν* zu ergänzen, und der wörtliche Sinn: „wenn es nicht an . . . . gelegen hätte." Denn auch auſserhalb des hypothetischen Satzes steht *διά* so, z. B. Isokr. 20, 8 *ὧν οὐδὲν διὰ τὸν φεύγοντα τὴν δίκην* (*quantum in reo fuit*) *ἀγένητόν ἐστιν, ἀλλὰ κατὰ μὲν τὸ τούτου μέρος ἅπαντα πέπρακται*. — 92, 7. *ὑπαρξάντων* cf. Krit. Anh.

93, 1. *καὶ μηδεὶς ὑπολάβῃ* wie 4, 129. 12, 114. — *λαθεῖν* hat nicht etwa transitiven Sinn; s. zu 9, 57. — 93, 2. *πρότερον*, im Panegyrikos. S. zu § 91. — 93, 3. *ἐπιστάς*, auf — gekommen, wie 5, 110. 10, 29. Ep. 9, 7. — *γλιχόμενος*, hier mit dem Infin. Aoristi wie 6, 109; mit dem des Praes. 12, 16, 64, 140, 155. Ep. 9, 15. — 93, 4. *καλῶς* gehört zu *δεδηλωμένα*.

*μην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων. τοῖς μὲν οὖν οἰκείοις
τυχὸν ἂν χρησαίμην, ἢν σφόδρα κατεπείγῃ καὶ πρέπῃ, τῶν
δ' ἀλλοτρίων οὐδὲν ἂν προσδεξαίμην, ὥσπερ οὐδ' ἐν τῷ
παρελθόντι χρόνῳ.*
95 (μ'.) *Ταῦτα μὲν οὖν οὕτως· δοκεῖ δέ μοι μετὰ ταῦτα
περὶ τῆς παρασκευῆς διαλεκτέον εἶναι τῆς τε σοὶ γενησομένης
καὶ τῆς ἐκείνοις ὑπαρξάσης. τὸ μὲν τοίνυν μέγιστον, σὺ μὲν
τοὺς Ἕλληνας εὔνους ἕξεις, ἤν περ ἐθελήσῃς ἐμμεῖναι τοῖς* c
*περὶ τούτων εἰρημένοις, ἐκεῖνοι δὲ διὰ τὰς δεκαρχίας τὰς
ἐπὶ Λακεδαιμονίων ὡς οἷόν τε δυσμενεστάτους. ἡγοῦντο γὰρ
Κύρου μὲν καὶ Κλεάρχου κατορθωσάντων μᾶλλον ἔτι δουλεύ-
σειν, βασιλέως δὲ κρατήσαντος ἀπαλλαγήσεσθαι τῶν κακῶν*
96 *τῶν παρόντων· ὅπερ καὶ συνέπεσεν αὐτοῖς. καὶ μὴν καὶ
στρατιώτας σὺ μὲν ἐξ ἑτοίμου λήψει τοσούτους, ὅσους ἂν
βουληθῇς· οὕτω γὰρ ἔχει τὰ τῆς Ἑλλάδος ὥστε ῥᾷον εἶναι* d
*συστῆσαι στρατόπεδον μεῖζον καὶ κρεῖττον ἐκ τῶν πλανωμέ-
νων ἢ τῶν πολιτευομένων· ἐν ἐκείνοις δὲ τοῖς χρόνοις οὐκ
ἦν ξενικὸν οὐδέν, ὥστ' ἀναγκαζόμενοι ξενολογεῖν ἐκ τῶν πό-
λεων πλέον ἀνήλισκον εἰς τὰς διδομένας τοῖς συλλέγουσιν*
97 *δωρεὰς ἢ τὴν εἰς τοὺς στρατιώτας μισθοφοράν. καὶ μὴν εἰ
βουληθεῖμεν ἐξετάσαι καὶ παραβαλεῖν σέ τε τὸν νῦν ἡγησό-
μενον τῆς στρατείας καὶ βουλευσόμενον περὶ ἁπάντων καὶ* e
*Κλέαρχον τὸν ἐπιστατήσαντα τῶν τότε πραγμάτων, εὑρή-
σομεν ἐκεῖνον μὲν οὐδεμιᾶς πώποτε δυνάμεως πρότερον οὔτε*

94, 5. *τυχόν.* S. zu **4, 171.** — *κατεπείγῃ* hier unpersönlich, wie 12, 5 *ἐντεῦθεν (ἄρχεσθαι) οἶμαι μᾶλλον κατεπείγειν*, und 12, 114 *κατήπειγε τὴν πόλιν περιγενέσθαι πολεμοῦσαν.*

95, 2. *παρασκευῆς*, Hülfsmittel, wie 10, 49. — 95, 3. *τὸ — μέγιστον*, ohne folgendes *γάρ*. S. zu **7, 83.** — 95, 5. *δεκαρχίας.* S. zu **4, 110.** — 95, 6. *δυσμενεστάτους*, scil. *εἶχον*. S. zu **7, 49.** [cf. Krit. Anh.]. — 95, 9. *ὅπερ καὶ συνέπεσεν*, wie 11, 29 *ὅπερ καὶ συνέβη*, dagegen 12, 143 *ἅπερ αὐτοῖς συνέβαινεν* und 9, 56 *ὅπερ συνέβη*. Auch andere schwanken in dem Hinzufügen des *καί* in diesen und ähnlichen Formeln; vergl. Strange in Jahns Jahrb. Suppl. III (1834) S. 600.

96, 4. *πλανωμένων.* S. § **120.** — 96, 5. *πολιτευομένων*, den in ihren Staaten Lebenden. — 96, 6. *ξενικὸν οὐδέν*, keine Söldner, welche sich ein für allemal dazu bestimmt hatten, also: keinen Söldnerstand. — 96, 7. *συλλέγουσιν*, wie Klearch, Proxenos, Sophainetos u. s. w. für Kyros Söldner sammelten. — 96, 8. *ἢ τήν* i. e. *ἢ εἰς τήν*, wie kurz vorher *ἐκ τῶν πλανωμένων ἢ τῶν πολιτευομένων.* S. zu **9, 3.**

97, 3. *στρατείας.* S. zu **4, 88.** — 97, 4. *τὸν ἐπιστ. τῶν πρ.*

ναυτικῆς οὔτε πεζῆς καταστάντα κύριον ἀλλ' ἐκ τῆς ἀτυχίας
τῆς συμβάσης αὐτῷ περὶ τὴν ἤπειρον ὀνομαστὸν γενόμενον, 102
98 *σὲ δὲ τοσαῦτα καὶ τηλικαῦτα τὸ μέγεθος διαπεπραγμένον,*
περὶ ὧν εἰ μὲν πρὸς ἑτέρους τὸν λόγον ἐποιούμην, καλῶς
ἂν εἶχε διελθεῖν, πρὸς σὲ δὲ διαλεγόμενος, εἰ τὰς σὰς πρά-
ξεις σοι διεξιοίην, δικαίως ἂν ἀνόητος ἅμα καὶ περίεργος
εἶναι δοκοίην.
99 (*μα'.*) *Ἄξιον δὲ μνησθῆναι καὶ τῶν βασιλέων ἀμφοτέρων,*
ἐφ' ὃν σοί τε συμβουλεύω στρατεύειν καὶ πρὸς ὃν Κλέαρχος
ἐπολέμησεν, ἵν' ἑκατέρου τὴν γνώμην καὶ τὴν δύναμιν b
εἰδῇς. ὁ μὲν τοίνυν τούτου πατὴρ τὴν πόλιν τὴν ἡμετέραν
καὶ πάλιν τὴν Λακεδαιμονίων κατεπολέμησεν, οὗτος δ' οὐδε-
νὸς πώποτε τῶν στρατευμάτων τῶν τὴν χώραν αὐτοῦ λυμαι-
100 *νομένων ἐπεκράτησεν. ἐπειθ' ὁ μὲν τὴν Ἀσίαν ἅπασαν παρὰ*
τῶν Ἑλλήνων ἐν ταῖς συνθήκαις ἐξέλαβεν, οὗτος δὲ τοσού-
του δεῖ τῶν ἄλλων ἄρχειν, ὥστ' οὐδὲ τῶν ἐκδοθεισῶν αὐτῷ
πόλεων ἐγκρατής ἐστιν. ὥστ' οὐδεὶς ὅστις οὐκ ἂν ἀπορήσειεν, c
πότερα χρὴ νομίζειν τοῦτον αὐτῶν ἀφεστάναι δι' ἀνανδρίαν

S. zu **4, 104**. — 97, 6. *κύριον*, nicht als selbständiger Anführer aufgetreten war, sondern höchstens als Unterfeldherr. In letzterer Eigenschaft erscheint er in den meisten der von Benseler angeführten Stellen; wo er aber selbständig auftritt, erscheint er doch nur als Anführer eines zusammengerafften Söldnerhaufens. Darnach hat Isokr. hier nicht eben übertrieben. — *ἀλλ' ἐκ κ. τ. λ.*, sondern nur erst durch sein Unglück (seinen Tod § **91**), nicht durch frühere glückliche Kriegsunternehmungen wie Philipp. — 97, 7. *ἤπειρον*. S. zu **9, 55**.

99, 2. *ἐφ' ὃν σοί τε*. Die Stellung der Kopula könnte auffallen, allein der Gegensatz liegt nicht in den Relativen allein, sondern wird erst dadurch gewonnen, dafs zu ihnen der Name ihres Gegners hinzutritt; *ἐφ' ὃν σοί* bildet also gewissermafsen einen Begriff (deines Königs — des Königs des Klearch). — 99, 4. *τούτου*, der Vater des jetzigen (des Ochos), der König Artaxerxes Mnemon. — *πόλιν τὴν ἡμετέραν — κατεπολέμησεν*. Dies bezog schon H. Wolf auf die Unterstützung, welche Persien Sparta gegen Athen im peloponnesischen Kriege gewährte, infolge deren den Lakedaimoniern der Sieg bei Aigospotamoi und die Einnahme Athens möglich wurde. Wolf unterliefs aber auf die Ungenauigkeit des Isokr. aufmerksam zu machen, welcher, was vom Dareios Nothos gilt, auf dessen Sohn Artaxerxes überträgt, da dieser erst nach der Einnahme Athens zur Regierung kam (Diodor. 13, 108). — 99, 5. *Λακεδαιμονίων*, bei Knidos, 394 v. Chr. — 99, 7. *ἐπεκράτησεν*. Isokr. denkt wohl an Einfälle wie den des Chares, der in Verbindung mit dem aufrührerischen Artabazos die Heere des Ochos schlug; s. Diodor. 16, 22.

100, 2. *συνθήκαις*, im antalkidischen Frieden. S. **4, 175**.

ἢ 'κείνας ὑπερεωρακέναι καὶ καταπεφρονηκέναι τῆς βαρβαρικῆς δυναστείας.

101 (μβ'.) Τὰ τοίνυν περὶ τὴν χώραν ὡς διάκειται, τίς οὐκ
ἂν ἀκούσας παροξυνθείη πολεμεῖν πρὸς αὐτόν; Αἴγυπτος
γὰρ ἀφειστήκει μὲν καὶ κατ' ἐκεῖνον τὸν χρόνον, οὐ μὴν
ἀλλ' ἐφοβοῦντο, μή ποτε βασιλεὺς αὐτὸς ποιησάμενος στρα-
τείαν κρατήσειεν καὶ τῆς διὰ τὸν ποταμὸν δυσχωρίας καὶ τῆς d
ἄλλης παρασκευῆς ἁπάσης· νῦν δ' οὗτος ἀπήλλαξεν αὐτοὺς
τοῦ δέους τούτου. συμπαρασκευασάμενος γὰρ δύναμιν, ὅσην
οἷός τ' ἦν πλείστην, καὶ στρατεύσας ἐπ' αὐτούς, ἀπῆλθεν
ἐκεῖθεν οὐ μόνον ἡττηθεὶς ἀλλὰ καὶ καταγελασθεὶς καὶ δόξας
102 οὔτε βασιλεύειν οὔτε στρατηγεῖν ἄξιος εἶναι. τὰ τοίνυν περὶ
Κύπρον καὶ Φοινίκην καὶ Κιλικίαν καὶ τὸν τόπον ἐκεῖνον,
ὅθεν ἐχρῶντο ναυτικῷ, τότε μὲν ἦν βασιλέως, νῦν δὲ τὰ μὲν e
ἀφέστηκεν, τὰ δ' ἐν πολέμῳ καὶ κακοῖς τοσούτοις ἐστὶν ὥστ'
ἐκείνῳ μὲν μηδὲν εἶναι τούτων τῶν ἐθνῶν χρήσιμον, σοὶ
δ' ἢν πολεμεῖν πρὸς αὐτὸν βουληθῇς συμφόρως ἕξειν.
103 (μγ'.) Καὶ μὴν Ἰδριέα γε τὸν εὐπορώτατον τῶν νῦν περὶ
τὴν ἤπειρον προσήκει δυσμενέστερον εἶναι τοῖς βασιλέως
πράγμασι τῶν πολεμούντων· ἢ πάντων γ' ἂν εἴη σχετλιώ- 103
τατος, εἰ μὴ βούλοιτο καταλελύσθαι ταύτην τὴν ἀρχήν, τὴν
αἰκισαμένην μὲν τὸν ἀδελφόν, πολεμήσασαν δὲ πρός αὐτόν,
ἅπαντα δὲ τὸν χρόνον ἐπιβουλεύουσαν καὶ βουλομένην τοῦ
τε σώματος αὐτοῦ καὶ τῶν χρημάτων ἁπάντων γενέσθαι κυ-

101, 2. *Αἴγυπτος.* S. zu **4, 140** und **161.** — 101, 8. *στρατεύσας,* wohl im Jahre 351; s. Schäfer l. l. I, S. 437. Erst auf einem dritten Zuge im Jahre 340, also nach dieser Rede, gelang es dem Ochos Ägypten zu unterwerfen. — 101, 9. *καταγελασθείς.* Vergl. Aelian. Var. histor. 4, 8. 4 Ὦχον οἱ Αἰγύπτιοι τῇ ἐπιχωρίῳ φωνῇ Ὄνον ἐκάλουν, τὸ νωθὲς αὐτοῦ τῆς γνώμης ἐκ τῆς ἀσθενείας τοῦ ζῴου διαβάλλοντες, was wohl mit Recht von Boeckh hierher gezogen wird; s. Schäfer l. l.

102, 1. *περὶ Κύπρον κ. τ. λ.* Über die unter Ochos in diesen Gegenden geführten Kriege vergl. Diodor. 16, 41—46.

103, 1. *Ἰδριέα,* König von Karien, Sohn des Hekatomnos (Isokr. **4, 162**). — 103, 3. *ἢ πάντων γ' ἂν ε. σ.* Ähnlich 15, 97 ἢ πάντων γ' ἂν εἴην δυστυχέστατος, und sonst oft; vergl. Strange in Jahns Jahrb. Suppl. II (1833) S. 91. Über *σχέτλιος* (besessen, thöricht) vergl. Döderlein, Homer. Gloss. III p. 341. — 103, 5. *ἀδελφόν,* seinen Vorgänger, den Mausolos, welcher sich in Verbindung mit den kleinasiatischen Satrapen gegen Persien empört hatte (Diodor. 15, 90); aber weder von dem *αἰκίζεσθαι* desselben, noch von einem Kriege

104 ρίαν. ὑπὲρ ὧν δεδιὼς νῦν μὲν ἀναγκάζεται θεραπεύειν αὐ-
τὸν καὶ χρήματα πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτὸν ἀναπέμ-
πειν· εἰ δὲ σὺ διαβαίης εἰς τὴν ἤπειρον, ἐκεῖνός τ' ἂν ἄσμε-
νος ἴδοι βοηθὸν ἥκειν αὐτῷ σε νομίζων, τῶν τ' ἄλλων b
σατραπῶν πολλοὺς ἀποστήσεις, ἢν ὑπόσχῃ τὴν ἐλευθερίαν
αὐτοῖς καὶ τοὔνομα τοῦτο διασπείρῃς εἰς τὴν Ἀσίαν, ὅπερ εἰς
τοὺς Ἕλληνας εἰσπεσὸν καὶ τὴν ἡμετέραν καὶ τὴν Λακεδαι-
105 μονίων ἀρχὴν κατέλυσεν. (μδ'.) Ἔτι δ' ἂν πλείω λέγειν
ἐπεχείρουν, ὃν τρόπον πολεμῶν τάχιστ' ἂν περιγένοιο τῆς
τοῦ βασιλέως δυνάμεως· νῦν δὲ φοβοῦμαι μή τινες ἐπιτιμή- c
σωσιν ἡμῖν, εἰ μηδὲν πώποτε μεταχειρισάμενος τῶν στρατιω-
τικῶν νῦν τολμῴην σοὶ παραινεῖν τῷ πλεῖστα καὶ μέγιστα
διαπεπραγμένῳ κατὰ πόλεμον. ὥστε περὶ μὲν τούτων οὐδὲν
οἶμαι δεῖν πλείω λέγειν.

(με'.) Περὶ δὲ τῶν ἄλλων, ἡγοῦμαι τόν τε πατέρα σου
καὶ τὸν κτησάμενον τὴν βασιλείαν καὶ τὸν τοῦ γένους ἀρχη-
γόν, εἰ τῷ μὲν εἴη θέμις, οἱ δὲ δύναμιν λάβοιεν, τῶν αὐτῶν
106 ἂν τούτων γενέσθαι συμβούλους, ὧνπερ ἐγώ. χρῶμαι δὲ d

der Perser gegen Idrieus selbst ist etwas näheres bekannt.

104, 1. θεραπεύειν. Er unterstützte den Ochos im Kriege gegen Kypern (s. § 102). Vergl. Diodor. 16, 42, welcher ihn φίλον καὶ σύμμαχον Περσῶν ἐκ προγόνων nennt, während Isokr. darin nur Politik erblickt. — 104, 6. διασπείρῃς εἰς τ. Ἀ. Vergl. 6, 77 τῶν λόγων διασπαρέντων εἰς τοὺς Ἕλληνας.

105, 1. ἔτι δ' ἂν πλείω λ. ἐ. cf. Epist. 7, 10 ἔτι δ' ἂν πλείω σοι περὶ τούτων διελέχθην. — 105, 4. ἡμῖν — μεταχειρισάμενος. S. zu 4, 14.

§ 105 med. — 131. *Beide Ratschläge, welche ich Dir gab, würde Dir auch Dein Vater, sowie der Stifter Deiner Dynastie* (105 med. —108) *und der noch nicht würdig genug gepriesene Ahnherr Deines Geschlechtes, Herakles, geben* (109 —113 med.). *Besonders dem Herakles mufst Du, so weit es möglich ist, nachahmen in seiner Milde und Menschenfreundlichkeit gegen die Hellenen, Tugenden, welche so hoch geschätzt werden* (113 med.—117), *und Du kannst es, wenn Du, nach dem Möglichen strebend* (118) *und den Gedanken des Jason von Pherae verwirklichend* (119), *Persien bekriegst und im günstigsten Falle das dort eroberte Land mit den jetzt heimatlos umherirrenden Hellenen, die uns noch gefährlich werden können, besetzest, im minder günstigen Falle aber wenigstens die Hellenen in Kleinasien frei machst, und so ausführst, was kein Hellene aufser Dir erstreben wird* (120—127); *wenigstens habe ich die Athener bisher vergebens dazu aufgefordert und darf mich daher ohne einen Vorwurf von ihrer Seite her befürchten zu müssen, an Dich wenden* (128—131).

105, 6. διαπεπραγμένῳ κατὰ πόλεμον wie 12, 128. — 105, 8. πατέρα, Amyntas II. — 105. 9. κτησάμενον — ἀρχηγόν. S. zu § 32. — 105, 10. τῷ μέν, dem Herakles.

τεκμηρίοις ἐξ ὧν διαπεπραγμένοι τυγχάνουσιν. ὅ τε γὰρ πα-
τήρ σου πρὸς τὰς πόλεις ταύτας, αἷς σοὶ παραινῶ προσέχειν
τὸν νοῦν, πρὸς ἁπάσας οἰκείως εἶχεν· ὅ τε κτησάμενος τὴν
ἀρχήν, μεῖζον φρονήσας τῶν αὑτοῦ πολιτῶν καὶ μοναρχίας
ἐπιθυμήσας, οὐχ ὁμοίως ἐβουλεύσατο τοῖς πρὸς τὰς τοιαύτας
107 *φιλοτιμίας ὁρμωμένοις. οἱ μὲν γὰρ ἐν ταῖς αὑτῶν πόλεσιν*
στάσεις καὶ ταραχὰς καὶ σφαγὰς ἐμποιοῦντες ἐκτῶντο τὴν e
τιμὴν ταύτην, ὁ δὲ τὸν μὲν τόπον τὸν Ἑλληνικὸν ὅλως εἴασεν,
τὴν δ' ἐν Μακεδονίᾳ βασιλείαν κατασχεῖν ἐπεθύμησεν· ἠπί-
στατο γὰρ τοὺς μὲν Ἕλληνας οὐκ εἰθισμένους ὑπομένειν τὰς
μοναρχίας, τοὺς δ' ἄλλους οὐ δυναμένους ἄνευ τῆς τοιαύτης
108 *δυναστείας διοικεῖν τὸν βίον τὸν σφέτερον αὑτῶν. καὶ γάρ* 104
τοι συνέβη διὰ τὸ γνῶναι περὶ τούτων αὐτὸν ἰδίως καὶ τὴν
βασιλείαν γεγενῆσθαι πολὺ τῶν ἄλλων ἐξηλλαγμένην· μό-
νος γὰρ Ἑλλήνων οὐχ ὁμοφύλου γένους ἄρχειν ἀξιώσας μό-
νος καὶ διαφυγεῖν ἠδυνήθη τοὺς κινδύνους τοὺς περὶ τὰς
μοναρχίας γιγνομένους. τοὺς μὲν γὰρ ἐν τοῖς Ἕλλησι τοιοῦ-
τόν τι διαπεπραγμένους εὕροιμεν ἂν οὐ μόνον αὐτοὺς διε-
φθαρμένους, ἀλλὰ καὶ τὸ γένος αὐτῶν ἐξ ἀνθρώπων ἠφανισ- b
μένον, ἐκεῖνον δ' αὐτόν τ' ἐν εὐδαιμονίᾳ τὸν βίον διαγα-
γόντα τῷ τε γένει καταλιπόντα τὰς αὐτὰς τιμάς, ὥσπερ αὐτὸς
εἶχεν.

109 (μϛʹ.) *Περὶ τοίνυν Ἡρακλέους, οἱ μὲν ἄλλοι τὴν ἀνδρείαν*
ὑμνοῦντες αὐτοῦ καὶ τοὺς ἄθλους ἀπαριθμοῦντες διατελοῦσιν,
περὶ δὲ τῶν ἄλλων τῶν τῇ ψυχῇ προσόντων ἀγαθῶν οὐδεὶς

106, 3. *ταύτας*. S. § **39.** — 106, 4. *πρὸς ἁπάσας*. Über die Wiederholung der Praeposition s. zu **4, 42.** — *οἰκείως*. Wenigstens Freund der Athener nennt den Amyntas Demosth. 23, 111; sie und die Lakedaimonier hatten ihn, als er von den Thessaliern verjagt war, wieder eingesetzt (Aeschin. 2, 26 cum schol.). — 106, 5. *πολιτῶν*, der Argiver; s. zu § **32.**

108, 1. *καὶ γάρ τοι*, daher — denn. S. zu **7, 30.** — 108, 2. *γνῶναι — ἰδίως*, seine eigentümliche Ansicht — hatte. — 108, 3. *ἐξηλλαγμένην*, abweichend, wie 8, 63. 15, 179 und sonst. — 108, 7. *διεφθαρμένους*, wie vor kurzem erst Alexander von Pherae ermordet war; s. Xenoph. Hellen. 6, 4, 36 seq. — 108, 8. *ἐξ ἀνθρ. ἠφαν.* S. zu **4, 95.**

109, 1. *περί — Ἡρακλέους* tritt, die Stelle eines ganzen Satzes vertretend, absolut vor die Periode, wie 3, 14. 15, 60. 18, 37 und sonst (Sauppe ad Demosth. orat. sel. p. 66. Rehdantz Demosth. Ind² p. 271), auch da, wo die vollständige Ausdrucksweise vorausging oder (wie hier) folgt; vergl. Demosth. 1, 19 *περὶ μὲν τῆς βοηθείας ταῦτα γιγνώσκω, περὶ δὲ χρημάτων, ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι χρήματα ὑμῖν.* Isokr. **4,**

οὔτε τῶν ποιητῶν οὔτε τῶν λογοποιῶν οὐδεμίαν φανήσεται
μνείαν πεποιημένος. ἐγὼ δ' ὁρῶ μὲν τόπον ἴδιον καὶ παν- c
τάπασιν ἀδιεξέργαστον, οὐ μικρὸν οὐδὲ κενόν, ἀλλὰ πολλῶν
μὲν ἐπαίνων καὶ καλῶν πράξεων γέμοντα, ποθοῦντα δὲ τὸν
110 *ἀξίως ἂν δυνηθέντα διαλεχθῆναι περὶ αὐτῶν· ἐφ' ὃν εἰ μὲν*
νεώτερος ὢν ἐπέστην, ῥᾳδίως ἂν ἐπέδειξα τὸν πρόγονον
ὑμῶν καὶ τῇ φρονήσει καὶ τῇ φιλοτιμίᾳ καὶ τῇ δικαιοσύνῃ
πλέον διενεγκόντα πάντων τῶν προγεγενημένων ἢ τῇ ῥώμῃ
τῇ τοῦ σώματος· νῦν δ' ἐπελθὼν ἐπ' αὐτὸν καὶ κατιδὼν τὸ d
πλῆθος τῶν ἐνόντων εἰπεῖν, τήν τε δύναμιν τὴν παροῦσάν
μοι κατεμεμψάμην καὶ τὸν λόγον ᾐσθόμην διπλάσιον ἂν γε-
νόμενον τοῦ νῦν ἀναγιγνωσκομένου. τῶν μὲν οὖν ἄλλων
ἀπέστην διὰ τὰς αἰτίας ταύτας, μίαν δὲ πρᾶξιν ἐξ αὐτῶν
ἔλαβον, ἥπερ ἦν προσήκουσα μὲν καὶ πρέπουσα τοῖς προειρη-
μένοις, τὸν δὲ καιρὸν ἔχουσα μάλιστα σύμμετρον τοῖς νῦν
λεγομένοις.

111 (*μζ*.) *Ἐκεῖνος γὰρ ὁρῶν τὴν Ἑλλάδα πολέμων καὶ στά-* e
σεων καὶ πολλῶν ἄλλων κακῶν μεστὴν οὖσαν, παύσας ταῦτα
καὶ διαλλάξας τὰς πόλεις πρὸς ἀλλήλας ὑπέδειξε τοῖς ἐπιγι-
γνομένοις, μεθ' ὧν χρὴ καὶ πρὸς οὓς δεῖ τοὺς πολέμους ἐκ-
φέρειν. ποιησάμενος γὰρ στρατείαν ἐπὶ Τροίαν, ἥπερ εἶχεν
τότε μεγίστην δύναμιν τῶν περὶ τὴν Ἀσίαν, τοσοῦτον διή- 105
νεγκεν τῇ στρατηγίᾳ τῶν πρὸς τὴν αὐτὴν ταύτην ὕστερον πο-
112 *λεμησάντων, ὅσον οἱ μὲν μετὰ τῆς τῶν Ἑλλήνων δυνάμεως*
ἐν ἔτεσι δέκα μόλις αὐτὴν ἐξεπολιόρκησαν, ὁ δ' ἐν ἡμέραις
ἐλάττοσιν ἢ τοσαύταις καὶ μετ' ὀλίγων στρατεύσας ῥᾳδίως
αὐτὴν κατὰ κράτος εἷλεν. καὶ μετὰ ταῦτα τοὺς βασιλέας τῶν

15. 5, 83 u. 105. — 109, 4. *λογοποιῶν*, Historiker, wie 11, 37. Vergl. Pierson ad Moerid. Attic. p. 244 (= 179 Lips.), Curtius in d. Sitzungsber. der Sächsisch. Akad. 1866 p. 143. — 109, 5. *τόπον*, Feld, wie 10, 4. — 109, 7. *γέμοντα* S. zu 7, 43.

110, 6. *τῶν ἐνόντων εἰπεῖν.* S. zu 7, 77. — 110, 11. *ἔχουσα*, nämlich *ῥηθῆναι*, was Plut. Moral. p. 763 B *ὃ ἐν ἀρχῇ καιρὸν εἶχε ῥηθῆναι* u. p. 960 B *λεχθῆναι καιρὸν οὐκ ἔσχεν* hinzusetzt. Der Artikel (seine Zeit) pflegt in dieser Verbindung sonst zu fehlen.

111, 4. *χρὴ — δεῖ* [cf. Krit. Anh.] Isokr. liebt diesen Wechsel; vergl. 2, 6 *ὧν χρὴ στοχάζεσθαι καὶ περὶ ἃ δεῖ διατρίβειν.* 2, 15 *ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι τῶν δεόντων ποιήσειν, πρὸς δὲ τούτους φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν.* 3, 10 *τοὺς δυναστεύοντας, ὡς δεῖ τῷ πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας, ὡς χρὴ πρὸς τοὺς ἄρχοντας διακεῖσθαι,* und sonst. — 111, 5. *ἐπὶ Τροίαν.* S. zu 9, 16, — 111, 6. *τοσοῦτον*

ἐθνῶν τῶν ἐφ' ἑκατέρας τῆς ἠπείρου τὴν παραλίαν κατοικούν- b
των ἅπαντας ἀπέκτεινεν· οὓς οὐδέποτ' ἂν διέφθειρεν, εἰ μὴ
καὶ τῆς δυνάμεως αὐτῶν ἐκράτησεν. ταῦτα δὲ πράξας τὰς
στήλας τὰς Ἡρακλέους καλουμένας ἐποιήσατο, τρόπαιον μὲν
τῶν βαρβάρων, μνημεῖον δὲ τῆς ἀρετῆς τῆς αὑτοῦ καὶ τῶν
κινδύνων, ὅρους δὲ τῆς Ἑλλήνων χώρας.

113 *Τούτου δ' ἕνεκά σοι περὶ τούτων διῆλθον, ἵνα γνῷς, ὅτι*
σε τυγχάνω τῷ λόγῳ παρακαλῶν ἐπὶ τοιαύτας πράξεις, ἃς
ἐπὶ τῶν ἔργων οἱ πρόγονοί σου φαίνονται καλλίστας προκρί- c
ναντες. (μη'.) Ἅπαντας μὲν οὖν χρὴ τοὺς νοῦν ἔχοντας τὸν
κράτιστον ὑποστησαμένους πειρᾶσθαι γίγνεσθαι τοιούτους,
μάλιστα δὲ σοὶ προσήκει. τὸ γὰρ μὴ δεῖν ἀλλοτρίοις χρῆσθαι
παραδείγμασιν ἀλλ' οἰκεῖον ὑπάρχειν, πῶς οὐκ εἰκὸς ὑπ' αὐ-
τοῦ σε παροξύνεσθαι καὶ φιλονικεῖν, ὅπως τῷ προγόνῳ
114 *σαυτὸν ὅμοιον παρασκευάσεις; λέγω δ' οὐχ ὡς δυνησόμενον*
ἁπάσας σε μιμήσασθαι τὰς Ἡρακλέους πράξεις, οὐδὲ γὰρ ἂν d
τῶν θεῶν ἔνιοι δυνηθεῖεν· ἀλλὰ κατά γε τὸ τῆς ψυχῆς ἦθος

— *ὅσον*, insofern — als. S. zu **1, 4.**

112, 5. *ἐθνῶν*, nämlich *βαρβάρων*, denn nur über solche triumphiert er nachher und nur als Besieger von Barbaren soll er dem Philipp ein Muster sein; man hat also für Europa nicht mit Benseler auch an griechische Fürsten wie Augeas, Neleus in Pylos, Hippokoon in Lakedaimon, sondern nur an Barbaren wie an den Thrakerfürsten Diomedes (Apollodor 2, 5, 8) zu denken; für Asien (und Afrika) ist an Mygdon, die Hippolyte, Sarpedon (über alle Apollodor 4, 5, 9), Busiris (obwohl Isokr. über diesen 11, 36 seq. anders urteilt), Antaios u. s. w. zu denken. — *ἐφ' ἑκατέρας*. S. zu **4, 35.** — 112, 8. *τρόπαιον τῶν βαρβάρων* S. zu **4, 150.**

113, 3. *ἐπὶ τῶν ἔργων*, bei ihrem Handeln, wie *ἐπὶ πραγμάτων* 15, 128 und *ἐπὶ τῶν πράξεων* bei Xenoph. Kyrop. 1, 6, 25, nur dafs *ἔργον*, wie unsere Stelle (und § **120**) lehrt, ein weiterer Begriff ist als *πρᾶξις*. — *καλλίστας προκρ.* S. zu **4, 4.** — 113, 5 *ὑποστησαμένους*, sich zum Muster nehmend, ganz so wohl von keinem andern gebraucht. — 113, 6. *τὸ γὰρ μὴ δεῖν*, denn da Du nicht — brauchst. In der That aber beginnt die Konstruktion, als ob *πῶς οὐκ εἰκός σε παροξύνειν* folgen sollte; die Rede ist also anakoluthisch. Ganz ähnlich 12, 99 *ἀλλὰ μὴν καὶ τὰς στάσεις καὶ τὰς σφαγὰς καὶ τὰς τῶν πολιτειῶν μεταβολὰς — ἐκεῖνοι μὲν ἂν φανεῖεν ἁπάσας τὰς πόλεις πλὴν ὀλίγων μεστὰς πεποιηκότες τῶν τοιούτων συμφορῶν.* Vergl. auch 15, 281 und Lykurg. Leokrat. 91 *τὸ ἐλθεῖν τοῦτον, οἶμαι θεόν τινα αὐτὸν ἐπ' αὐτὴν ἀγαγεῖν τὴν τιμωρίαν.* Aber nicht hierher gehört 12, 224 *τὸ δὲ μηδὲν τῶν αὐτῶν συμβαίνειν τοῖς ὀρθῶς καὶ δικαίως πράττουσι καί τοῖς ἀσελγῶς τε καὶ κακῶς, τίνι οὐκ ἂν εἰκότως ταῦτα γίγνεσθαι δόξειεν.* — 113, 7. *οἰκεῖον*. S. zu **1, 9.** — **113, 8.** *φιλονικεῖν*. S. Krit. Anh. zu **4, 19.**

114, 1. *οὐχ ὡς δυνησόμενον*. S. zu **4, 53.**

καὶ τὴν φιλανθρωπίαν καὶ τὴν εὔνοιαν, ἣν εἶχεν εἰς τοὺς
Ἕλληνας, δύναι' ἂν ὁμοιωθῆναι τοῖς ἐκείνου βουλήμασιν.
ἔστι δέ σοι πεισθέντι τοῖς ὑπ' ἐμοῦ λεγομένοις τυχεῖν δόξης
115 οἵας ἂν αὐτὸς βουληθῇς· ῥᾷον γάρ ἐστιν ἐκ τῶν παρόντων
κτήσασθαι τὴν καλλίστην ἤπερ ἐξ ὧν παρέλαβες ἐπὶ τὴν νῦν
ὑπάρχουσαν προελθεῖν. σκέψαι δ' ὅτι σε τυγχάνω παρακα-
λῶν, ἐξ ὧν ποιήσει τὰς στρατείας οὐ μετὰ τῶν βαρβάρων e
ἐφ' οὓς οὐ δίκαιόν ἐστιν, ἀλλὰ μετὰ τῶν Ἑλλήνων ἐπὶ τού-
τους, πρὸς οὓς προσήκει τοὺς ἀφ' Ἡρακλέους γεγονότας πο-
λεμεῖν.

116 (μθ'.) Καὶ μὴ θαυμάσῃς, εἰ διὰ παντός σε τοῦ λόγου 106
πειρῶμαι προτρέπειν ἐπί τε τὰς εὐεργεσίας τὰς τῶν Ἑλλήνων
καὶ πρᾳότητα καὶ φιλανθρωπίαν· ὁρῶ γὰρ τὰς μὲν χαλεπό-
τητας λυπηρὰς οὔσας καὶ τοῖς ἔχουσι καὶ τοῖς ἐντυγχάνουσιν,
τὰς δὲ πρᾳότητας οὐ μόνον ἐπὶ τῶν ἀνθρώπων καὶ τῶν ἄλ-
117 λων ζῴων ἁπάντων εὐδοκιμούσας, ἀλλὰ καὶ τῶν θεῶν τοὺς
μὲν τῶν ἀγαθῶν αἰτίους ἡμῖν ὄντας Ὀλυμπίους προσαγορευο-
μένους, τοὺς δ' ἐπὶ ταῖς συμφοραῖς καὶ ταῖς τιμωρίαις τε-
ταγμένους δυσχερεστέρας τὰς ἐπωνυμίας ἔχοντας, καὶ τῶν b
μὲν καὶ τοὺς ἰδιώτας καὶ τὰς πόλεις καὶ νεὼς καὶ βωμοὺς
ἱδρυμένους, τοὺς δ' οὔτ' ἐν ταῖς εὐχαῖς οὔτ' ἐν ταῖς
118 θυσίαις τιμωμένους, ἀλλ' ἀποπομπὰς αὐτῶν ποιουμένους. ὧν

115, 1. ῥᾷον γάρ κ. τ. λ. Vgl. Ep. 3, 5 ταῦτα δὲ κατεργάσασθαι πολὺ ῥᾷόν ἐστιν ἐκ τῶν νῦν παρόντων ἢ προελθεῖν ἐπὶ τὴν δύναμιν καὶ τὴν δόξαν, ἣν νῦν ἔχεις, ἐκ τῆς βασιλείας τῆς ἐξ ἀρχῆς ὑμῖν ὑπαρξάσης. — 115, 3. παρακαλῶν, ἐξ ὧν Ermahnungen erteile (denen zufolge), durch welche veranlafst [cf. Krit. Anh.] — 115, 5. ἐφ' οὓς κ. τ. λ., gegen Hellenen.

116, 4. ἐντυγχάνουσιν, denen, mit welchen man verkehrt. S. zu 1, 20.

117, 5. ἰδιώτας — πόλεις, ein häufiger Gegensatz; vergl. zu 7, 72 und Weber ad Demosth. Aristokrat. p. 4. — 117, 7. ἀποπομπάς giebt Harpokrat. p. 29, 2 Bekk. nur aus unserer Stelle ohne weitere Erklärung, und was er hinzusetzt: ἀποπομπαῖοί τινες ἐκαλοῦντο θεοί, περὶ ὧν Ἀπολλόδωρος ἐν ϛ' περὶ θεῶν διείλεκται, fördert die Erklärung auch nicht, ebensowenig Hesychs ἀποπομπαί, ἡμέραι τινές, ἐν αἷς θυσίαι ἐτελοῦντο τοῖς ἀποπομπαίοις θεοῖς. Dafs bei Harpokr. die Erklärung von ἀποπομπαί ausgefallen, macht B. Keil Anal. Isokr. p. 127 seq. wahrscheinlich, der die des Suidas ἀποπομπή. ἀντὶ τοῦ ἀποτροπή anführt. Somit sind unter ἀποπομπαί wohl alle Mittel, den Einflufs daemonischer Gewalten von sich fernzuhalten, (von denen das hauptsächlichste das ἀποπτύειν εἰς κόλπον war; s. Blomfield ad Aeschyl. Prometh. 1106, O. Jahn ad Pers. Sat. p. 126, dens. in Sitzungsber. der Sächsisch. Akad. 1855 S. 83) zu verstehen. ἀποπέμπομαι

ἐνθυμούμενον ἐθίζειν σαυτὸν χρὴ καὶ μελετᾶν, ὅπως ἔτι
μᾶλλον ἢ νῦν τοιαύτην ἅπαντες περὶ σοῦ τὴν γνώμην ἕξου-
σιν. χρὴ δὲ τοὺς μείζονος δόξης τῶν ἄλλων ἐπιθυμοῦντας c
περιβάλλεσθαι μὲν τῇ διανοίᾳ τὰς πράξεις, δυνατὰς μέν,
εὐχῇ δ' ὁμοίας, ἐξεργάζεσθαι δὲ ζητεῖν αὐτάς, ὅπως ἂν οἱ
καιροὶ παραδιδῶσιν.
119 (*ν'.*) *Ἐκ πολλῶν δ' ἂν κατανοήσειας, ὅτι δεῖ τοῦτον τὸν*
τρόπον πράττειν, μάλιστα δ' ἐκ τῶν Ἰάσονι συμβάντων. ἐκεῖ-
νος γὰρ οὐδὲν τοιοῦτον οἷον σὺ κατεργασάμενος μεγίστης
δόξης ἔτυχεν, οὐκ ἐξ ὧν ἔπραξεν ἀλλ' ἐξ ὧν ἔφησεν· ἐποιεῖτο
γὰρ τοὺς λόγους ὡς εἰς τὴν ἤπειρον διαβησόμενος καὶ βασι-
120 *λεῖ πολεμήσων. ὅπου δ' Ἰάσων λόγῳ μόνον χρησάμενος οὕ-* d
τως αὑτὸν ηὔξησεν, ποίαν τινὰ χρὴ προσδοκᾶν περὶ σοῦ γνώ-
μην ἀνθρώπους ἕξειν, ἢν ἔργῳ ταῦτα πράξῃς, καὶ μάλιστα
μὲν πειραθῇς ὅλην τὴν βασιλείαν ἀνελεῖν, εἰ δὲ μή, χώραν
ὅτι πλείστην ἀφορίσασθαι καὶ διαλαβεῖν τὴν Ἀσίαν, ὡς λέ-
γουσίν τινες, ἀπὸ Κιλικίας μέχρι Σινώπης, πρὸς δὲ τούτοις
κτίσαι πόλεις ἐπὶ τούτῳ τῷ τόπῳ καὶ κατοικίσαι τοὺς νῦν

findet sich in ähnlichem Sinne bei Eurip. Hek. 70 *ἀποπέμπομαι ἔννυχον ὄψιν*, womit zu vergleichen Plut. Kleom. 9, 1 *τιμῶσι δὲ τὸν Φόβον, οὐχ ὥσπερ οὓς ἀποτρέπονται δαίμονας, ἡγούμενοι βλαβερόν, ἀλλὰ κ. τ. λ.* Also etwa: dafs sie (scil. *οἱ ἰδιῶται καὶ αἱ πόλεις*) vor ihnen ein Kreuz schlagen. [cf. Krit. Anh.]

118, 5. *περιβάλλεσθαι.* S. zu 4, 36. — 118, 6. *εὐχῇ δ' ὁμοίας*, einem frommen Wunsche ähnlich, also scheinbar doch unmöglich sind. Vergl. Aristeid. I p. 392 Dind. *ἃ ἐλπίσαι οὐδαμοῦ περιῆν, ἀλλ' ὁ τῆς εὐδαιμονίας ὅρος ὥσπερ εὐχή τις ἐφαίνετο*, und noch ähnlicher Plat. de republ. VI p. 499 C. *εὐχαῖς ὅμοια λέγοντες.* Vgl. Stallbaum ad Plat. de republ. V p. 450 D. — 118, 7. *οἱ καιροὶ παραδ.*, die Umstände es gestatten, wie Plut. Moral. p. 768 F. *πικρῶς ἀμύνονται καιροῦ παραδόντος*, und Caes. 19 *καιροῦ παραδόντος οὐκ ἂν ἐδόκουν ἐπὶ τοῖς παροῦσιν ἀτρεμήσειν*, und ebenso *ὁ καιρὸς δίδωσι, ἐνδίδωσι.* S. Sauppe ad Demosth. orat. sel. p. 16.

119, 2. *Ἰάσονι*, dem Tyrannen von Pherae. Seinen hier angedeuteten Plan gegen Persien läfst ihn auch Xenoph. Hellen. 6, 1, 12 andeuten.

120, 1. *ὅπου* s. zu 1, 49. — 120, 3. *ἀνθρώπους* cf. Krit. Anh. — *μάλιστα*, im besten Falle, wie oft bei nachfolgendem *εἰ δὲ μή* (wo nicht); vergl. 2, 17, 52. 12, 98, 235, 244 und Hermann ad Lukian. de conscrib. hist. p. 284. — 120, 5. *διαλαβεῖν*, davon zu trennen, mit dem Akkus. des einzelnen Teiles, nicht des Ganzen, wie in der Verbindung *διαλαμβάνειν τινά*, „jemanden beiseite nehmen,“ Aeschin. 2, 41. — *ὡς λέγουσίν τινες*, kann wohl nur auf den schon von anderen (vielleicht von Gorgias im *Ὀλυμπιακός*? s. Einleit. zum Panegyr.) gebrauchten ungewöhnlichen Ausdruck *διαλαβεῖν τὴν Ἀσίαν* gehen, welcher ein politisches Schlagwort geworden zu sein scheint. — 120, 8.

πλανωμένους δι' ἔνδειαν τῶν καθ' ἡμέραν καὶ λυμαινομέ- e
121 νους οἷς ἂν ἐντύχωσιν. οὓς εἰ μὴ παύσομεν ἀθροιζομένους
βίον αὐτοῖς ἱκανὸν πορίσαντες, λήσουσιν ἡμᾶς τοσοῦτοι γενό-
μενοι τὸ πλῆθος ὥστε μηδὲν ἧττον αὐτοὺς εἶναι φοβεροὺς
τοῖς Ἕλλησιν ἢ τοῖς βαρβάροις· ὧν οὐδεμίαν ποιούμεθα πρό- 107
νοιαν, ἀλλ' ἀγνοοῦμεν κοινὸν φόβον καὶ κίνδυνον ἅπασιν
122 ἡμῖν αὐξανόμενον. ἔστιν οὖν ἀνδρὸς μέγα φρονοῦντος καὶ
φιλέλληνος καὶ πορρωτέρω τῶν ἄλλων τῇ διανοίᾳ καθορῶν-
τος, ἀποχρησάμενον τοῖς τοιούτοις πρὸς τοὺς βαρβάρους καὶ
χώραν ἀποτεμόμενον τοσαύτην, ὅσην ὀλίγῳ πρότερον εἰρή-
καμεν, ἀπαλλάξαι τε τοὺς ξενιτευομένους τῶν κακῶν ὧν αὐ-
τοί τ' ἔχουσιν καὶ τοῖς ἄλλοις παρέχουσιν, καὶ πόλεις ἐξ αὐτῶν b
συστῆσαι καὶ ταύταις ὁρίσαι τὴν Ἑλλάδα καὶ προβαλέσθαι
123 πρὸ ἁπάντων ἡμῶν. ταῦτα γὰρ πράξας οὐ μόνον ἐκείνους
εὐδαίμονας ποιήσεις ἀλλὰ καὶ πάντας ἡμᾶς εἰς ἀσφάλειαν
καταστήσεις. ἢν δ' οὖν τούτων διαμάρτῃς, ἀλλ' ἐκεῖνό γε
ῥᾳδίως ποιήσεις, τὰς πόλεις τὰς τὴν Ἀσίαν κατοικούσας
ἐλευθερώσεις. ὅ τι δ' ἂν τούτων πρᾶξαι δυνηθῇς ἢ καὶ μό-
νον ἐπιχειρήσῃς, οὐκ ἔσθ' ὅπως οὐ μᾶλλον τῶν ἄλλων εὐδο-
κιμήσεις, καὶ δικαίως, ἤν περ αὐτός τ' ἐπὶ ταῦθ' ὁρμήσῃς c
124 καὶ τοὺς Ἕλληνας προτρέψῃς. (να'.) Ἐπεὶ νῦν γε τίς οὐκ ἂν
εἰκότως τὰ συμβεβηκότα θαυμάσειε καὶ καταφρονήσειεν ἡμῶν,
ὅπου παρὰ μὲν τοῖς βαρβάροις, οὓς ὑπειλήφαμεν μαλακοὺς
εἶναι καὶ πολέμων ἀπείρους καὶ διεφθαρμένους ὑπὸ τῆς

πλανωμένους, als φυγάδας. Vgl. 4, 168. 8, 24 und Ep. 9, 9.

121, 3. *αὐτοὺς — φοβερούς.* S. zu 7, 82.

122, 5. *ξενιτευομένους* = πλανωμένους. — 122, 6. *ἔχουσιν καὶ — παρέχουσιν.* cf. 8, 64 αἰτία τῶν κακῶν ὧν αὐτοί τ' ἔχομεν καὶ τοῖς ἄλλοις παρέχομεν. Plut. Pyrrh. 13 τὸ μὴ παρέχειν ἑτέροις κακὰ μηδ' ἔχειν ὑφ' ἑτέρων. Häufiger ist πράγματα ἔχειν καὶ παρέχειν, worüber Wyttenbach ad Plut. Moral. p. 407 und Ellendt ad Arrian. Anab. 7, 1, 9.

123, 4. *τὰς τὴν Ἀσίαν κατοικούσας*, die in A. gelegenen (hellenischen) Städte; κατοικεῖν hier wie bei Plat. de legg. III p. 677 C πόλεις, ἐν τοῖς πεδίοις καὶ πρὸς θαλάττῃ κατοικούσας und öfter s. Ast ad Plat. de legg. p. 15 und wie das epische ναίειν u. ναιετᾶν. Übrigens sollte dieser Satz untergeordnet werden (durch ὅτι oder den Infinitiv), tritt aber selbständig und ohne alle Verbindung auf. Vergl. 8, 25 ὅπως μὴ ποιήσομεν, ὅπερ εἰώθαμεν ὀλίγον χρόνον διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς καταστησόμεθα ταραχάς. Thuk. 6, 91, 4 εἰ μὴ ποιήσετε τάδε ἐν τάχει, στρατιὰν ἐπὶ νεῶν πέμψετε ἐκεῖσε. Vergl. Stallbaum ad Plat. Apolog. p. 22 A.

124, 3. *ὅπου.* S. zu 1, 49. — *ὑπειλήφαμεν.* Vergl. 4, 150 seq.

τρυφῆς, ἄνδρες ἐγγεγόνασιν, οἳ τῆς Ἑλλάδος ἄρχειν ἠξίωσαν,
τῶν δ' Ἑλλήνων οὐδεὶς τοσοῦτον πεφρόνηκεν ὥστ' ἐπιχει- d
125 ρῆσαι τῆς Ἀσίας ἡμᾶς ποιῆσαι κυρίους, ἀλλὰ τοσοῦτον αὐτῶν
ἀπολελειμμένοι τυγχάνομεν, ὥστ' ἐκεῖνοι μὲν οὐκ ὤκνησαν
οὐδὲ προϋπάρξαι τῆς ἔχθρας τῆς πρὸς τοὺς Ἕλληνας, ἡμεῖς
δ' οὐδ' ὑπὲρ ὧν κακῶς ἐπάθομεν ἀμύνεσθαι τολμῶμεν
αὐτούς, ἀλλ' ὁμολογούντων ἐκείνων ἐν ἅπασι τοῖς πολέ-
μοις μήτε στρατιώτας ἔχειν μήτε στρατηγοὺς μήτ' ἄλλο
126 μηδὲν τῶν εἰς τοὺς κινδύνους χρησίμων, ἀλλὰ ταῦτα πάντα
παρ' ἡμῶν μεταπεμπομένων, εἰς τοῦθ' ἥκομεν ἐπιθυμίας τοῦ e
κακῶς ἡμᾶς αὐτοὺς ποιεῖν, ὥστ' ἐξὸν ἡμῖν τἀκείνων ἀδεῶς
ἔχειν, πρὸς ἡμᾶς τ' αὐτοὺς περὶ μικρῶν πολεμοῦμεν καὶ
τοὺς ἀφισταμένους τῆς ἀρχῆς τῆς βασιλέως συγκαταστρεφό-
μεθα καὶ λελήθαμεν ἡμᾶς αὐτοὺς ἐνίοτε μετὰ τῶν πατρι- 108
κῶν ἐχθρῶν τοὺς τῆς αὐτῆς συγγενείας μετέχοντας ἀπολλύναι
ζητοῦντες.

127 (νβ'.) Διὸ καὶ σοὶ νομίζω συμφέρειν οὕτως ἀνάνδρως
διακειμένων τῶν ἄλλων προστῆναι τοῦ πολέμου τοῦ πρὸς
ἐκεῖνον. προσήκει δὲ τοῖς μὲν ἄλλοις τοῖς ἀφ' Ἡρακλέους
πεφυκόσι καὶ τοῖς ἐν πολιτείᾳ καὶ νόμοις ἐνδεδεμένοις ἐκεί-
νην τὴν πόλιν στέργειν, ἐν ᾗ τυγχάνουσι κατοικοῦντες, σὲ
δ' ὥσπερ ἄφετον γεγενημένον ἅπασαν τὴν Ἑλλάδα πατρίδα
νομίζειν, ὥσπερ ὁ γεννήσας ὑμᾶς, καὶ κινδυνεύειν ὑπὲρ αὐ- b
τῆς ὁμοίως, ὥσπερ ὑπὲρ ὧν μάλιστα σπουδάζεις.

128 (νγ'.) Ἴσως δ' ἂν τινες ἐπιτιμῆσαί μοι τολμήσειαν τῶν

— 124, 5. *ἄνδρες*, wie Dareios und Xerxes.

125, 6. *μήτε στρατιώτας κ. τ. λ.* Vergl. 4, 150. Ein Beispiel, daſs die Perser mit hellenischen Truppen und Feldherrn ihre Kriege führten und daſs diese ihren Stammgenossen gegenüber standen, bietet der kyprische Krieg; s. 4, 135 seq.

127, 3. *ἐκεῖνον*, den Perserkönig. — *τοῖς μὲν — σὲ δέ.* Das unpersönliche *προσήκει*, sonst bei Isokr. gleich häufig mit dem Dativ wie mit dem Akkusativ cum Infinit. (s. Bremi ad Isokr. Archidam. § 3), wechselt hier in seiner Konstruktion, ein bei Prosaikern seltener Fall; doch vergl. über solchen Wechsel der Konstruktion eines Verbums Herod. 6, 136 *τῆς μάχης τῆς ἐν Μαραθῶνι ἐπιμεμνημένοι καὶ τὴν Λήμνου αἵρεσιν.* Deinarch. 1, 112 *μὴ ἀποδέχεσθε αὐτῶν . . . . μηδὲ τὴν αὐτοῦ τούτου μανίαν*, und Lobeck ad Sophokl. Aiac. v. 716. — 127, 6. *ὥσπερ ἄφετον.* Indem Isokr. *ὥσπερ* hinzusetzt, deutet er an, daſs er *ἄφετος* nicht einfach als Gegensatz zu *ἐνδεδεμένος* gefaſst wissen will; es liegt vielmehr ein wirklicher Vergleich mit den der Gottheit geweihten und keinem einzelnen Menschen gehörigen Tieren zu Grunde; vergl. Stallbaum ad Plat. Protag. p. 320 A.

οὐδὲν ἄλλο δυναμένων ἢ τοῦτο ποιεῖν, ὅτι σὲ προειλόμην
παρακαλεῖν ἐπὶ τὴν στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους καὶ
τὴν ἐπιμέλειαν τὴν τῶν Ἑλλήνων, παραλιπὼν τὴν ἐμαυτοῦ
129 πόλιν. (νδʹ.) Ἐγὼ δ' εἰ μὲν πρὸς ἄλλους τινὰς πρότερον c
ἐπεχείρουν διαλέγεσθαι περὶ τούτων ἢ πρὸς τὴν πατρίδα τὴν
αὑτοῦ τὴν τρὶς τοὺς Ἕλληνας ἐλευθερώσασαν, δὶς μὲν ἀπὸ
τῶν βαρβάρων, ἅπαξ δ' ἀπὸ τῆς Λακεδαιμονίων ἀρχῆς, ὡμο-
λόγουν ἂν πλημμελεῖν· νῦν δ' ἐκείνην μὲν φανήσομαι πρώ-
την ἐπὶ ταῦτα προτρέπων ὡς ἠδυνάμην μετὰ πλείστης σπου-
δῆς, αἰσθανόμενος δ' ἔλαττον αὐτὴν φροντίζουσαν τῶν ὑπ'
ἐμοῦ λεγομένων ἢ τῶν ἐπὶ τοῦ βήματος μαινομένων ἐκείνην
130 μὲν εἴασα, τῆς δὲ πραγματείας οὐκ ἀπέστην. διὸ δικαίως ἄν d
με πάντες ἐπαινοῖεν, ὅτι τῇ δυνάμει ταύτῃ χρώμενος, ἣν
ἔχων τυγχάνω, διατετέλεκα πάντα τὸν χρόνον πολεμῶν μὲν
τοῖς βαρβάροις, κατηγορῶν δὲ τῶν μὴ τὴν αὐτὴν ἐμοὶ γνώ-
μην ἐχόντων, προτρέπειν δ' ἐπιχειρῶν, οὓς ἂν ἐλπίσω μάλιστα
δυνήσεσθαι τοὺς μὲν Ἕλληνας ἀγαθόν τι ποιῆσαι, τοὺς δὲ
131 βαρβάρους ἀφελέσθαι τὴν ὑπάρχουσαν εὐδαιμονίαν. διόπερ
καὶ νῦν πρὸς σὲ ποιοῦμαι τοὺς λόγους, οὐκ ἀγνοῶν, ὅτι e
τούτοις ὑπ' ἐμοῦ μὲν λεγομένοις πολλοὶ φθονήσουσιν, τοῖς
δ' αὐτοῖς τούτοις ὑπὸ σοῦ πραττομένοις ἅπαντες συνησθή-
σονται. τῶν μὲν γὰρ εἰρημένων οὐδεὶς κεκοινώνηκεν, τῶν δ'
ὠφελιῶν τῶν κατεργασθησομένων οὐκ ἔστιν ὅστις οὐκ οἰή-
σεται μεθέξειν.

128, 2. *τοῦτο* i. e. *τὸ ἐπιτιμᾶν*. Vergl. 12, 152 *τὰς ἐπιτιμήσεις τὰς τῶν οὐδὲν ἄλλο ποιεῖν ἢ τοῦτο δυναμένων*.

129, 3. *αὑτοῦ* i. e. *ἐμαυτοῦ*. S. zu **1, 14**. — *δίς*, bei Marathon und Salamis, *ἅπαξ*, nach der Schlacht bei Knidos. Noch stärker spricht Isokr. Ep. 2, 19 *καὶ μίαν ἑκάστην τῶν πόλεων καὶ σύμπασαν τὴν Ἑλλάδα πολλάκις ἤδη σέσωκεν* (Athen.) — 129, 5. *πρώτην — προτρέπων* mufs wohl auf eine verloren gegangene Rede bezogen werden, denn im Panegyrikos werden ja nicht speciell die Athener zum Kriege gegen Persien aufgefordert.

130, 3. *διατετέλεκα πάντα τ. χ.* S. zu **4, 52**. — 130, 5. *προτρέπειν*, den älteren Dionys (Isokr. Ep. 1), Alexander von Pherae (Epistol. Sokrat. 30 Orell.), Archidamos (Isokr. Ep. 9, 19).

131, 3. *μὲν — δέ* sind nicht genau zu den den Gegensatz bildenden Wörtern gestellt; doch vergl. 12, 192 *τῶν ἐν ἐκείνῳ μὲν τῷ χρόνῳ πραχθέντων, ῥηθῆναι δὲ νῦν οὐ κατεπειγόντων*, wo wie in allen ähnlichen Fällen nicht der Gegensatz einzelner Begriffe, sondern der ganzer Gedanken ins Auge gefafst ist; vergl. Maetzner ad Lykurg. p. 270. Rehdantz Demosth. Ind.[2] p. 253 f.

132 (νε΄.) *Σκέψαι δ' ὡς αἰσχρὸν περιορᾶν τὴν Ἀσίαν ἄμει-* 109
νον πράττουσαν τῆς Εὐρώπης καὶ τοὺς βαρβάρους εὐπορω-
τέρους τῶν Ἑλλήνων ὄντας, ἔτι δὲ τοὺς μὲν ἀπὸ Κύρου τὴν
ἀρχὴν ἔχοντας, ὃν ἡ μήτηρ εἰς τὴν ὁδὸν ἐξέβαλεν, βασιλέας
μεγάλους προσαγορευομένους, τοὺς δ' ἀφ' Ἡρακλέους πεφυ-
κότας, ὃν ὁ γεννήσας διὰ τὴν ἀρετὴν εἰς θεοὺς ἀνήγαγεν,
ταπεινοτέροις ὀνόμασιν ἢ 'κείνους προσαγορευομένους. ὧν
